HERODOTOS

ERKLAERT

VON

HEINRICH STEIN.

FÜNFTER BAND.

BUCH VIII UND IX. NAMENVERZEICHNISS.

MIT ZWEI KÄRTCHEN VON H. KIEPERT.

BERLIN,
WEIDMANNSCHE BUCHHANDLUNG.
1862.

Θ.

Οἱ δὲ Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες 1
ἦσαν οἵδε, Ἀθηναῖοι μὲν νέας παρεχόμενοι ἑπτὰ καὶ
εἴκοσι καὶ ἑκατόν· ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης
Πλαταιέες, ἄπειροι τῆς ναυτικῆς ἐόντες, συνεπλήρουν
τοῖσι Ἀθηναίοισι τὰς νέας. Κορίνθιοι δὲ τεσσεράκοντα 5
νέας παρείχοντο, Μεγαρέες δὲ εἴκοσι· καὶ Χαλκιδέες ἐπλή-
ρουν εἴκοσι, Ἀθηναίων παρεχόντων σφι τὰς νέας, Αἰγι-
νῆται δὲ ὀκτωκαίδεκα, Σικυώνιοι δὲ δυώδεκα, Λακε-
δαιμόνιοι δὲ δέκα, Ἐπιδαύριοι δὲ ὀκτώ, Ἐρετριέες δὲ
ἑπτά, Τροιζήνιοι δὲ πέντε, Στυρέες δὲ δύο καὶ Κήιοι 10
δύο τε νέας καὶ πεντηκοντέρους δύο· Λοκροὶ δέ σφι οἱ
Ὀπούντιοι ἐπεβώθεον πεντηκοντέρους ἔχοντες ἑπτά.

Ἦσαν μὲν ὦν οὗτοι οἱ στρατευόμενοι ἐπ' Ἀρτεμί- 2

Die hellenische Flotte bei Artemision. Streit um die Hegemonie. Bestechung des Themistokles (c. 1—5).

1. Nachdem VII 175—177 die doppelte Aufstellung der Hellenen, zur See bei Artemision, zu Lande bei Thermopylae, und, der Zeitfolge entsprechend, zuerst die Bewegungen der Flotten (VII 179—195), darauf die Kämpfe an den Pässen (VII 202—233) berichtet sind, wendet sich die Erzählung jetzt zu den mit den letzteren gleichzeitigen Ereignissen (c. 15) bei Artemision zurück, und beginnt, wie VII 202, mit einer Uebersicht der hellen. Streitkräfte, die aber diesmal nach der Gröfse der Kontingente aufgezählt werden, wohl mit Rücksicht auf c. 3. Anders VI 8. VIII 43 ff. IX 28.

2. Seitdem man angefangen sich im Kriege vorzugsweise der Trieren zu bedienen, verstand man unter 'Schiffen' (*νέες*) meist nur schlechthin diese Gattung, nicht auch die kleineren (VII 97 8f.) oder die Transportschiffe (*πλοῖα, νέες ἱππαγωγοί*); daher 11 *νέας καὶ πεντηκοντέρους*. Letztere werden deshalb auch nicht in die Hauptsumme eingerechnet (c. 2 4. 48 7).

4. Vgl. VI 108. — *συνεπλήρουν*, mit *ἐπιβάται* und allenfalls mit *ναῦται*. Zu Ruderknechten (*ἐρέται, κωπηλάται*) gaben sich freie Bürger in der Regel nicht her.

6. *Χαλκιδέες*, die als attische Kleruchen noch zum athenischen Staatswesen gehörten (V 77. VI 100).

8. *Λακεδαιμόνιοι*, hier u. c. 43 2 im eig. Sinne (vgl. VII 234 12. IX 70 26). Spartiaten dienten höchstens als Epibaten auf der Flotte.

10. *Στυρέες*: zu VI 107 10.

11. *Λοκροί*: zu VII 203 2. — *σφι, τοῖσι Ἕλλησι*.

σιον, εἴρηται δέ μοι καὶ ὅσας τὸ πλῆθος ἕκαστοι τῶν νεῶν παρείχοντο. ἀριθμὸς δὲ τῶν συλλεχθεισέων νεῶν ἐπ' Ἀρτεμίσιον ἦν, πάρεξ τῶν πεντηκοντέρων, μία καὶ ἑβδομήκοντα καὶ διηκόσιαι. τὸν δὲ στρατηγὸν τὸν τὸ μέγιστον κράτος ἔχοντα παρείχοντο Σπαρτιῆται Εὐρυβιάδεα τὸν Εὐρυκλείδεω· οἱ γὰρ σύμμαχοι οὐκ ἔφασαν, ἢν μὴ ὁ Λάκων ἡγεμονεύῃ, Ἀθηναίοισι ἕψεσθαι ἡγεομένοισι, ἀλλὰ λύσειν τὸ μέλλον ἔσεσθαι στράτευμα. **3** ἐγένετο γὰρ κατ' ἀρχὰς λόγος, πρὶν ἢ καὶ ἐς Σικελίην πέμπειν ἐπὶ συμμαχίην, ὡς τὸ ναυτικὸν Ἀθηναίοισι χρεὼν εἴη ἐπιτράπειν. ἀντιβάντων δὲ τῶν συμμάχων εἶκον οἱ Ἀθηναῖοι μέγα τε ποιησάμενοι περιεῖναι τὴν Ἑλλάδα, καὶ γνόντες, εἰ στασιάσουσι περὶ τῆς ἡγεμονίης, ὡς ἀπολέεται ἡ Ἑλλάς, ὀρθὰ νοεῦντες· στάσις γὰρ ἔμφυλος πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιόν ἐστι ὅσῳ πόλεμος εἰρήνης. ἐπιστάμενοι ὦν αὐτὸ τοῦτο οὐκ ἀντέτεινον ἀλλ' εἶκον, μέχρι ὅσου κάρτα ἐδέοντο αὐτῶν, ὡς διέδεξαν· ὡς γὰρ δὴ ὠσάμενοι τὸν Πέρσεα περὶ τῆς ἐκείνου ἤδη τὸν ἀγῶνα ἐποιεῦντο, πρόφασιν

2. 7. *οἱ σύμμαχοι*, fast nur Peloponnesier und Dorier, die, gewohnt unter Sparta's Oberleitung ins Feld zu rücken, diese Ordnung jetzt auch auf den ersten gemeinschaftlichen Anzug zur See übertragen wissen wollten.

8. *ὁ Λάκων*, der Anführer der lakonischen Abtheilung.

3. *πρὶν ἢ καί*: zu V 109 25. Ebenso IX 68 3. — *ἐς Σικελίην*: s. VII 157 ff. — *πέμπειν*, Inf. Impf., 'che man noch daran dachte nach S. zu schicken'.

6. *νοεῦντες*, stellvertretend für *γνόντες*. Vgl. c. 10 5 u. zu IV 200 10. Nachher *ἐπιστάμενοι* (8). Uebrigens zu VII 145 15.

8. *αὐτό*, 'eben, nur aus dieser Ueberzeugung'.

9. *μέχρι ὅσου* 'so lange als', *ὅσον χρόνον, ἕως, ἐς ὅ*. Vgl. VII 60 11. VIII 84 14. Blofs *μέχρι* IV 3 15. — *ἐδέοντο αὐτῶν*, sc. *Ἀθηναῖοι*. Zunächst waren die Athener mehr der peloponn. Hilfe bedürftig als umgekehrt; und um diese nicht zu verlieren, verzichteten sie vorläufig auf die Führung.

10. *ὡς διέδεξαν*: zu VII 172 2. — *ὠσάμενοι*: zu VI 37 3.

11 ff. *περὶ τῆς ἐκείνου*, die Inseln und Küstenplätze des aegaeischen Meeres bis zum Pontos. — *πρόφασιν - προϊσχόμενοι*: H. scheint also den Vorwurf der *ὕβρις* nicht als begründet anzuerkennen. S. zu V 32 8. Anders, auch über das Benehmen der Athener, Thuk. I 95 *ἐν τῇδε τῇ ἡγεμονίᾳ ἤδη βιαίου ὄντος αὐτοῦ* (sc. *Παυσανίου*) *οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο καὶ οὐχ ἥκιστα οἱ Ἴωνες καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γε-*

τὴν Παυσανίεω ὕβριν προϊσχόμενοι ἀπείλοντο τὴν ἡγεμονίην τοὺς Λακεδαιμονίους. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο.

Τότε δὲ οὗτοι οἱ καὶ ἐπ' Ἀρτεμίσιον Ἑλλήνων ἀπικόμενοι 4
ὡς εἶδον νέας τε πολλὰς καταχθείσας ἐς τὰς Ἀφετὰς καὶ στρατιῆς ἅπαντα πλέα, ἐπεὶ αὐτοῖσι παρὰ δόξαν τὰ πρήγματα τῶν βαρβάρων ἀπέβαινε ἢ ὡς αὐτοὶ κατεδόκεον, καταρρωδήσαντες δρησμὸν ἐβουλεύοντο 5
ἀπὸ τοῦ Ἀρτεμισίου ἔσω ἐς τὴν Ἑλλάδα. γνόντες δέ σφεας οἱ Εὐβοέες ταῦτα βουλευομένους ἐδέοντο Εὐρυ-

νέσθαι κατὰ τὸ ξυγγενὲς καὶ Παυσανίῃ μὴ ἐπιτρέπειν, ἦν που βιάζηται. οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι τἆλλά τε καταστησόμενοι ἢ φαίνοιτο αὐτοῖς. ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο. καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἢ στρατηγία. ξυνέβη τε αὐτῷ καλεῖσθαί τε ἅμα καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν... καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Λόρκιν δὲ καὶ ἄλλους τινὰς μετ' αὐτοῦ στρατιὰν ἔχοντας οὐ πολλήν, οἷς οὐκέτι εἵρπεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν. οἱ δὲ αἰσθόμενοι ἀπῆλθον καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι μὴ σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται, ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον, ἀπαλλαξείοντές δὲ καὶ τοῦ Μηδικοῦ πολέμου καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους. Die Führung der peloponn. Schiffe verlor Sparta nicht. — *ὕστερον*, nach der Einnahme von Byzantion, im J. 477/76.

4. *καί* 'wirklich' (I 75 21), nach all dem Streiten und Zaudern. Es waren ihrer nicht einmal alle (vgl. c. 42) und mit voller Macht, und kaum angekommen dachten sie schon wieder auf Rückzug. Man könnte in *καί* auch einen Rückweis auf VII 207 2 ff. (vgl. unten 5) finden; dann müfste es aber vor *οὗτοι* stehen.

2. Die Hellenen erwarteten hier die Ankunft der pers. Flotte, um die Einfahrt des Euripos zu decken (c. 15); als diese dann wirklich von Therme heranfuhr, gingen sie bis nach Chalkis zurück (VII 182), nahmen aber bald darauf, am zweiten Tage des dreitägigen Sturmes, ihre frühere Stellung wieder ein, und, als hier die Nachhut der feindlichen Flotte an ihnen vorbei nach Aphetae fuhr, fingen sie dieselbe weg. (VII 192 ff.). Woraus sich eine kleine Ungenauigkeit in dieser Stelle ergibt. Vgl. auch c. 6 5.

3. *Ἀφετάς*: s. VII 193.

4. *παρὰ δόξαν - ἢ ὡς*, wie I 79 9.

6. *ἔσω ἐς*, durch die Enge des Euripos in die Binnengewässer des mittleren Hellas (*ἐς τὴν Ἑλλάδα*, zu VII 176 7). Artemision war nur ein Aufsenposten. Der eigentliche Sammelplatz war der Hafen von Troezen (c. 42).

βιάδεω προσμεῖναι χρόνον ὀλίγον, ἔστ' ἂν αὐτοὶ τέκνα τε καὶ τοὺς οἰκέτας ὑπεκθέωνται. ὡς δὲ οὐκ ἔπειθον, μεταβάντες τὸν Ἀθηναίων στρατηγὸν πείθουσι Θεμιστοκλέα ἐπὶ μισθῷ τριήκοντα ταλάντοισι, ἐπ' ᾧ τε καταμείναντες πρὸ τῆς Εὐβοίης ποιήσονται τὴν ναυμαχίην. ὁ δὲ Θεμιστοκλέης τοὺς Ἕλληνας ἐπισχεῖν ὧδε ποιέει. Εὐρυβιάδῃ τούτων τῶν χρημάτων μεταδιδοῖ πέντε τάλαντα ὡς παρ' ἑωυτοῦ δῆθεν διδούς. ὡς δέ οἱ οὗτος ἀνεπέπειστο, Ἀδείμαντος γὰρ ὁ Ὠκύτου ὁ Κορίνθιος στρατηγὸς τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλώσεσθαί τε ἀπὸ τοῦ Ἀρτεμισίου καὶ οὐ παραμενέειν, πρὸς δὴ τοῦτον εἶπε ὁ Θεμιστοκλέης ἐπομόσας „οὐ σύ γε ἡμέας ἀπολείψεις, ἐπεί τοι ἐγὼ μέζω δῶρα δώσω ἢ βασιλεὺς ἄν τοι ὁ Μήδων πέμψειε ἀπολιπόντι τοὺς συμμάχους." ταῦτά τε ἅμα ἠγόρευε καὶ πέμπει ἐπὶ τὴν νέα τὴν Ἀδειμάντου τάλαντα ἀργυρίου τρία.

9f. *οἰκέται, οἱ κατὰ τὸν οἶκον πάντες* Hesych. So auch c. 44 8. 106 9. 142 18. Die Kinder sind besonders und zuerst genannt, weil auf ihnen vorzüglich der Bestand des Hauses beruht. Vgl. zu VI 19 14. — *ἔπειθον-πείθουσι*: vgl. zu V 104 13. — *Θεμιστοκλέα*, als Befehlshaber der athenischen Flotte.

11. *ἐπὶ μισθῷ τριήκοντα ταλάντοισι*: zu V 65 10. — Themistokles ist die einzige geschichtliche Person, die der sonst so unbefangene und nachsichtige Vf. mit entschiedener Parteilichkeit behandelt. Von seinen unleugbaren Verdiensten spricht er überall mit auffallender Kühle, manche verschweigt er ganz, andere erwähnt er nicht als die seinigen (vgl. zu VII 144 9, VIII 9 1. 79 2), und während er das momentane Eingreifen des Aristeides zu einem unbeschränkten Lobe dieses Gegners benutzt (c. 79. 95), hat er für jenen und seine weitfassende unermüdete Thätigkeit kaum ein Wort der Anerkennung: nur in List und Verschlagenheit erkennt er ihm den Vorrang zu (c. 110). Dagegen erzählt er wiederholt von seiner unlauteren Gewinnsucht, seiner Bestechlichkeit, und hebt mit sichtbarer Abgunst Züge eines zweideutigen, unredlichen, selbstsüchtigen und eitlen Charakters hervor (c. 5. 19. 22. 58. 109f. 112. 124). Vgl. zu c. 110 1.

5. 3. *ὡς - δῆθεν*: vgl. VI 1 6. — *παρ' ἑωυτοῦ*: zu II 129 9.

4. *γάρ*: zu I 8 4. — *Ἀδείμαντος*, wohl der VII 137 20 genannte.

5. *ἤσπαιρε* 'sperrte sich', wie ein Vogel der sich dem Häscher nicht fügen will. Dieser Korinthier erscheint auch sonst nicht in günstigem Lichte (c. 59. 61. 94).

9. *ἄν τοι - πέμψειε*, drohende Anspielung dafs Verrath und Bestechung im Spiele sein möchten. Vgl. zu IX 41 15. — Ein anderes Geschichtchen der Art bei Plut. Them. 7.

οὗτοί τε δὴ πληγέντες δώροισι ἀναπεπεισμένοι ἦσαν καὶ τοῖσι Εὐβοεῦσι ἐκεχάριστο, αὐτός τε ὁ Θεμιστοκλέης ἐκέρδηνε, ἐλάνθανε δὲ τὰ λοιπὰ ἔχων, ἀλλ' ἠπιστέατο οἱ μεταλαβόντες τούτων τῶν χρημάτων ἐκ τῶν Ἀθηνέων ἐλθεῖν ἐπὶ τῷ λόγῳ τούτῳ τὰ χρήματα.

Οὕτω δὴ κατέμειναν τε ἐν τῇ Εὐβοίῃ καὶ ἐναυμάχησαν. ἐγένετο δὲ ὧδε. ἐπείτε δὴ ἐς τὰς Ἀφετὰς περὶ δείλην πρωίην γινομένην ἀπίκατο οἱ βάρβαροι, πυθόμενοι μὲν ἔτι καὶ πρότερον περὶ τὸ Ἀρτεμίσιον ναυλοχέειν νέας Ἑλληνίδας ὀλίγας, τότε δὲ αὐτοὶ ἰδόντες, πρόθυμοι ἦσαν ἐπιχειρέειν, εἴ κως ἕλοιεν αὐτάς. ἐκ μὲν δὴ τῆς ἀντίης προσπλώειν οὔ κώ σφι ἐδόκεε τῶνδε εἵνεκεν, μή κως ἰδόντες οἱ Ἕλληνες προσπλώοντας ἐς φυγὴν ὁρμήσειαν, φεύγοντάς τε εὐφρόνη καταλάβῃ· καὶ ἔμελλον δῆθεν ἐκφεύξεσθαι, ἔδεε δὲ μηδὲ πυρφόρον τῷ

12. *πληγέντες, capti.* Wahrscheinlich übertragen vom Fang mit der Leimruthe, mit welcher der Jäger den Vogel zu treffen suchte. Petron. 109 *volucres - tertis arundinibus peritus artifex tetigit. illae viscatis illigatae - viminibus deferebantur ad manus.* Plaut. Bacch. 51 *duae me unum expetitis palumbem: perii, alas arundo verberat,* 1158 *tactus sum vehementer visco.*

14. *ἀλλ'*, weil *ἐλάνθανε* = *οὐκ ἐδηλοῦτο, οὐκ ἐγένετο φανερός.* — *ἠπιστέατο*: zu I 3 4.

16. *ἐπὶ τῷ λόγῳ τούτῳ* 'zu diesem Zwecke' (III 36 24), an die Führer vertheilt zu werden.

Persisches Geschwader um Enboea. Der Taucher Skyllias. Erstes Seetreffen bei Artemision. Sturm; Untergang des Geschwaders. Tag nach der Schlacht (c. 6—14).

6. 2 f. *ἐγένετο*, impersonal (c. 107 5). — Reihenfolge der Ereignisse: Ankerung bei Sepias, dreitägiger Sturm (VII 188—191); — am 4. Tage (c. VII 192 f.) nach Mittag Ankerung bei Aphetae, Entsendung einer Abtheilung um Enboea; Schlacht am späten Nachmittage; Nachts wieder Sturm; — am 5. Tage Waffenruhe (c. 14); — am 6. Tage zweite Schlacht; Nachts Rückzug der Hellenen (c. 15 ff.). — *περὶ δείλην πρωίην γινομένην* 'bei Beginn des Nachmittages'; Ggs. c. 9 6 *δείλην ὀψίην.*

4. *ἔτι*: zu V 62 17. — *πρότερον*: s. VII 177 8. Die Perser wußten davon durch Wegnahme der hellen. Wachtschiffe (VII 179 ff.)

5. *τότε - ἰδόντες*, auf der Vorbeifahrt nach Aphetae, nicht auf der Ankerstelle, die von Artemision 80 Stadien entfernt war (c. 8 13).

6. *εἴ κως*, nicht an *ἐπιχειρέειν* (sc. *αὐτῆσι*) zu ziehen; 'zu versuchen ob'. Vgl. V 30 12.

9 ff. *εὐφρόνη*: zu VII 12 1. — *καταλάβῃ*, hier in günstigem oder doch neutralem Sinne, 'über die Fliehenden hereinbräche', wie III 139 *Συλοσῶντα κατέλαβε εὐτυχίη τις τοιήδε.* Sonst vom Eintritt eines Unerwünschten oder Ueberraschenden; so IX 56 *ἡὼς κατελάμβανε.* — *καὶ - ἐκφεύξεσθαι*, ironisch,

7 ἐκείνων λόγῳ ἐκφυγόντα περιγενέσθαι. πρὸς ταῦτα ὧν τάδε ἐμηχανέοντο. τῶν νεῶν ἁπασέων ἀποκρίναντες διηκοσίας περιέπεμπον ἔξωθεν Σκιάθου, ὡς ἂν μὴ ὀφθέωσι ὑπὸ τῶν πολεμίων περιπλώουσαι Εὔβοιαν, κατά τε Καφηρέα καὶ περὶ Γεραιστὸν ἐς τὸν Εὔριπον, ἵνα δὴ περιλάβοιεν οἱ μὲν ταύτῃ ἀπικόμενοι καὶ φράξαντες αὐτῶν τὴν ὀπίσω φέρουσαν ὁδόν, σφεῖς δὲ ἐπισπόμενοι ἐξ ἐναντίης. ταῦτα βουλευσάμενοι ἀπέπεμπον τῶν νεῶν τὰς ταχθείσας, αὐτοὶ οὐκ ἐν νόῳ ἔχοντες ταύτης τῆς ἡμέρης τοῖσι Ἕλλησι ἐπιθήσεσθαι, οὐδὲ πρότερον ἢ τὸ σύνθημά σφι ἔμελλε φανήσεσθαι παρὰ τῶν περιπλωόντων ὡς ἡκόντων. ταύτας μὲν δὴ περιέπεμπον, τῶν δὲ λοιπέων νεῶν ἐν τῇσι Ἀφετῇσι ἐποιεῦντο ἀριθμόν.

8 Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐν τῷ οὗτοι ἀριθμὸν ἐποιεῦντο τῶν νεῶν, ἦν γὰρ ἐν τῷ στρατοπέδῳ τούτῳ Σκυλλίης Σκιωναῖος δύτης τῶν τότε ἀνθρώπων ἄριστος, ὃς καὶ ἐν τῇ ναυηγίῃ τῇ κατὰ τὸ Πήλιον γενομένῃ πολλὰ μὲν ἔσωσε τῶν χρημάτων τοῖσι Πέρσῃσι, πολλὰ δὲ καὶ αὐτὸς περιεβάλετο, οὗτος ὁ Σκυλλίης ἐν νόῳ μὲν εἶχε ἄρα καὶ πρότερον αὐτομολήσειν ἐς τοὺς Ἕλ-

'und es war ja natürlich (ἔμελλον, vgl. zu VII 23 11), sie sannen auf Flucht'; Widerstand war ja Wahnsinn (c. 10 3). τῷ ἐκείνων λόγῳ, *sicuti illi dictitabant*, gilt auch für diesen Satz. — Der πυρφόρος bewahrte das von Hause mitgenommene heilige Feuer und fungirte bei den Opfern (Xen. resp. Lac. XIII 2); als solcher begleitete er das Heer oder die Flotte überall und war, nach hellen. Satzung, für seine Person unverletzlich. Darum sagte man von einer vernichtenden Niederlage sprüchwörtlich οὐδὲ πυρφόρος ἐλείφθη (Zenob. V 34) od. ἐξέφυγε.

7. 3. ἔξωθεν Σκιάθου 'über Sk. hinaus', jenseits dieser Insel, als führen sie nach Therme zurück.

4. κατά 'an - vorüber' (IV 35 3). Kaphereus und Geraestos sind Vorgebirge des südöstl. Euboea.

9. τὰς ταχθείσας 'die dazu beorderten' (IX 56 7). — αὐτοί: zu VII 183 5.

13. ἀριθμόν: zu VII 59 16. Sturm und Feinde hatten schon so starke Lücken gerissen, dafs eine neue Eintheilung und Organisation für die Schlacht nöthig war.

8. 3. Σκιωναῖος, von der Halbinsel Pallene (VII 123 7). — 'Unter den Griechen des aegaeischen Meeres gibt es noch jetzt sehr geschickte Taucher, vorzüglich die Schwammfischer von Symi, einer Insel im keramischen Mb., an der Küste von Karien.' Leake ntt. Demen 182.

4 ff. Vgl. VII 190.

6. περιεβάλετο: zu III 71 18.

7. ἄρα, wie er nachträglich erklärte. S. zu III 64 20.

ληνας, ἀλλ' οὐ γάρ οἱ παρέσχε ὡς τότε. ὅτεῳ μὲν δὴ τρόπῳ τὸ ἐνθεῦτεν ἔτι ἀπίκετο ἐς τοὺς Ἕλληνας, οὐκ ἔχω εἶπαι ἀτρεκέως, θωυμάζω δὲ εἰ τὰ λεγόμενά ἐστι ἀληθέα· λέγεται γὰρ ὡς ἐξ Ἀφετέων δὺς ἐς τὴν θάλασσαν οὐ πρότερον ἀνέσχε πρὶν ἢ ἀπίκετο ἐπὶ τὸ Ἀρτεμίσιον, σταδίους μάλιστά κῃ τούτους ἐς ὀγδώκοντα διὰ τῆς θαλάσσης διεξελθών. λέγεται μέν νυν καὶ ἄλλα ψευδέσι ἴκελα περὶ τοῦ ἀνδρὸς τούτου, τὰ δὲ μετεξέτερα ἀληθέα· περὶ μέντοι τούτου γνώμη μοι ἀποδεδέχθω πλοίῳ μιν ἀπικέσθαι ἐπὶ τὸ Ἀρτεμίσιον. ὡς δὲ ἀπίκετο, αὐτίκα ἐσήμαινε τοῖσι στρατηγοῖσι τήν τε ναυηγίην ὡς γένοιτο, καὶ τὰς περιπεμφθείσας τῶν νεῶν περὶ Εὔβοιαν. τοῦτο δὲ ἀκούσαντες οἱ Ἕλληνες λόγον 9 σφίσι αὐτοῖσι ἐδίδοσαν. πολλῶν δὲ λεχθέντων ἐνίκα τὴν ἡμέρην ἐκείνην αὐτοῦ μείναντάς τε καὶ αὐλισθέντας, μετέπειτεν νύκτα μέσην παρέντας πορεύεσθαι καὶ ἀπαν-

8. ἀλλὰ - γάρ 'nber freilich'. Eig. 'doch da', mit Verschweignng der Folge (οὐκ αὐτομόλησε). Achnlich II 139 9. IX 46 17.

9. ἔτι, nach den vergeblichen Versuchen.

12. ἀνέσχε: Od. ε 319 οὐδ' ἐδυνάσθη Αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς.

13. τούτους: zu III 5 13.

15. τὰ δὲ μετεξέτερα, attisch τὰ δέ τινα.

19. ὡς γένοιτο, nicht sowohl die Thatsache, die ihnen schon hekannt war (VII 192), als den Umfang und die Gröfse des Verlustes.

9. λόγον - ἐδίδοσαν: zu I 34 11. — Diodor XI 12 προτεθείσης δὲ βουλῆς ἐν τοῖς τῶν νεῶν ἡγεμόσι περὶ τῆς ναυμαχίας, οἱ μὲν ἄλλοι πάντες τὴν ἡσυχίαν ἔκριναν ἔχειν καὶ τὸν ἐπίπλουν τῶν πολεμίων ἀναδέχεσθαι· μόνος δὲ Θεμιστοκλῆς τὴν ἐναντίαν ἀπεκρίνατο γνώμην, διδάσκων ὅτι συμφέρει ἀλεῖτῷ στόλῳ συντεταγμένῳ πλεῖν ἐπὶ τοὺς πολεμίους· οὕτω γὰρ αὐτοὺς πλεονεκτήσειν ἀθρόαις ταῖς ναυσὶν ἐπιπλέοντας τοῖς διὰ τὴν ταραχὴν διεσπασμένην ἔχουσι τὴν τάξιν, ὡς ἂν ἐκ πολλῶν καὶ διεστηκότων λιμένων ἐκπλέουσι. — ἐνίκα 'drang der Vorschlag durch' (VI 101 9). Er kam dann doch nicht zur Ausführnng, sondern der des Themistokles. Diod. a. O. τέλος δὲ κατὰ τὴν Θεμιστοκλέους κρίσιν οἱ Ἕλληνες παντὶ τῷ στόλῳ τοῖς πολεμίοις ἐπέπλευσαν. τῶν δὲ βαρβάρων ἐκ πολλῶν λιμένων ἀναγομένων, τὸ μὲν πρῶτον οἱ περὶ τὸν Θεμιστοκλέα διεσπαρμένοις τοῖς Πέρσαις συμπλεκόμενοι πολλὰς μὲν ναῦς κατέδυσαν, οὐκ ὀλίγας δὲ φυγεῖν ἀναγκάσαντες μέχρι τῆς γῆς κατεδίωξαν· μετὰ δὲ ταῦτα παντὸς τοῦ στόλου συναχθέντος καὶ γενομένης ναυμαχίας ἰσχυρᾶς, μέρει μὲν τῶν νεῶν ἑκάτεροι ἐπροτέρησαν, οὐδέτεροι δὲ ὁλοσχερεῖ νίκῃ πλεονεκτήσαντες νυκτὸς ἐπιλαβούσης διελύθησαν.

3. αὐλισθέντες, im Lager am Ufer, um den Feind nicht aufmerksam zu machen.

τᾶν τῇσι περιπλωούσῃσι τῶν νεῶν. μετὰ δὲ τοῦτο, ὡς οὐδείς σφι ἐπέπλωε, δείλην ὀψίην γινομένην τῆς ἡμέρης φυλάξαντες αὐτοὶ ἐπανέπλωον ἐπὶ τοὺς βαρβάρους, ἀπόπειραν αὐτῶν ποιήσασθαι βουλόμενοι τῆς τε μάχης καὶ τοῦ διεκπλόου. ὁρέοντες δέ σφεας οἵ τε ἄλλοι στρατιῶται οἱ Ξέρξεω καὶ οἱ στρατηγοὶ ἐπιπλώοντας νηυσὶ ὀλίγῃσι, πάγχυ σφι μανίην ἐπενείκαντες ἀνήγαγον καὶ αὐτοὶ τὰς νέας, ἐλπίσαντές σφεας εὐπετέως αἱρήσειν, οἰκότα κάρτα ἐλπίσαντες, τὰς μέν γε τῶν Ἑλλήνων ὁρέοντες ὀλίγας νέας, τὰς δὲ ἑωυτῶν πλήθεΐ τε πολλαπλησίας καὶ ἄμεινον πλωούσας. καταφρονήσαντες ταῦτα ἐκυκλοῦντο αὐτοὺς ἐς μέσον. ὅσοι μέν νυν τῶν Ἰώνων ἦσαν εὔνοοι τοῖσι Ἕλλησι, ἀέκοντές τε ἐστρατεύοντο συμφορήν τε ἐποιεῦντο μεγάλην ὁρέοντες περιεχομένους αὐτοὺς καὶ ἐπιστάμενοι ὡς οὐδεὶς αὐτῶν ἀπονοστήσει· οὕτω ἀσθενέα σφι ἐφαίνετο εἶναι τὰ τῶν Ἑλλήνων πρήγματα. ὅσοισι δὲ καὶ ἡδομένοισι ἦν τὸ γινόμενον, ἅμιλλαν ἐποιεῦντο ὅκως αὐτὸς ἕκαστος πρῶτος νέα Ἀττικὴν ἑλὼν δῶρα παρὰ βασιλέος λάμψεται· Ἀθηναίων γὰρ αὐτοῖσι λόγος ἦν πλεῖστος ἀνὰ τὰ στρατόπεδα. τοῖσι δὲ Ἕλλησι ὡς ἐσήμηνε, πρῶτα μὲν ἀντίπρωροι τοῖσι βαρβάροισι γενόμενοι ἐς τὸ μέσον τὰς

5. *μετὰ δὲ τοῦτο*, nach diesem Beschlusse.

6. *ἐπέπλωε* von der Hauptflotte bei Apbetae. Bei der Berathung war das als sicher vorausgesetzt worden; nun es unterblieb, kam man auf den Rath des Themistokles zurück.

7. *φυλάξαντες*, um, bei ungünstiger Wendung, noch Zeit zur Flucht zu behalten (vgl. c. 6 9). Die Feinde konnten in den ihnen fremden Gewässern nur bei Tage sich zurecht finden.

8. *μάχης*, wie VII 9$^{\alpha}$ 2. — *διεκπλόου*: zu VI 12 13.

10. 3. *μανίην-ἐπενείκαντες*: zu VI 112 5. Dazu *πάγχυ*, wie dort *καὶ πάγχυ*. Vgl. *πάγχυ δοκέειν* (I 31 4. VII 32 8), *ἐλπίζειν* (III 157 4. VIII 12 7), *καταδοκέειν* (III 27 5. VI 16 11).

6. *ὀλίγας*, ohne *ἐούσας* (VI 112 7).

7. *ἄμεινον πλωούσας*: zu c. 42 9. — *καταφρονήσαντες*: zu I 59 18. 8 ff. Vgl. c. 85.

16. *τὰ στρατόπεδα*: zu V 36 22. Der Plural, weil die grofse Flotte schon nach den Nationalitäten in mehrere Geschwader zerfiel (VII 97).

11. 2. Dasselbe Manöver (*ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἷοί τ' ἦσαν μὴ διδόντες διέκπλουν, τὰς πρῴρας μὲν ἔξω εἶσω δὲ τὰς πρύμνας*) machte im J. 429 eine peloponn. Flotte gegen die sie umzingelnde athenische, gerieth aber, da sie nicht, wie hier, alsbald zum Angriff überging, in ein

πρύμνας συνήγαγον, δεύτερα δὲ σημήναντος ἔργου εἶχοντο ἐν ὀλίγῳ περ ἀπολαμφθέντες καὶ κατὰ στόμα. ἐνθαῦτα τριήκοντά τε νέας αἱρέουσι τῶν βαρβάρων καὶ τὸν Γόργου τοῦ Σαλαμινίων βασιλέος ἀδελφεὸν Φιλέωνα τὸν Χέρσιος, λόγιμον ἐόντα ἐν τῷ στρατοπέδῳ ἄνδρα. πρῶτος δὲ Ἑλλήνων νέα τῶν πολεμίων εἷλε ἀνὴρ Ἀθηναῖος Λυκομήδης Αἰσχραίου, καὶ τὸ ἀριστήιον ἔλαβε οὗτος. τοὺς δ' ἐν τῇ ναυμαχίῃ ταύτῃ ἑτεραλκέως ἀγωνιζομένους νὺξ ἐπελθοῦσα διέλυσε. οἱ μὲν δὴ Ἕλληνες ἐπὶ τὸ Ἀρτεμίσιον ἀπέπλωον, οἱ δὲ βάρβαροι ἐς τὰς Ἀφετάς, πολλὸν παρὰ δόξαν ἀγωνισάμενοι. ἐν ταύτῃ τῇ ναυμαχίῃ Ἀντίδωρος Λήμνιος μοῦνος τῶν σὺν βασιλέι Ἑλλήνων ἐόντων αὐτομολέει ἐς τοὺς Ἕλληνας, καὶ οἱ Ἀθηναῖοι διὰ τοῦτο τὸ ἔργον ἔδοσαν χῶρον ἐν Σαλαμῖνι.

Ὡς δὲ εὐφρόνη ἐγεγόνεε, ἦν μὲν τῆς ὥρης μέσον θέρος, ἐγίνετο δὲ ὕδωρ τε ἄπλετον διὰ πάσης τῆς νυκτὸς καὶ βρονταὶ σκληραὶ ἀπὸ τοῦ Πηλίου· οἱ δὲ νεκροὶ καὶ τὰ ναυήγια ἐξεφορέοντο ἐς τὰς Ἀφετάς, καὶ περί τε τὰς πρώρας τῶν νεῶν εἱλέοντο καὶ ἐτάρασσον τοὺς ταρσοὺς τῶν κωπέων. οἱ δὲ στρατιῶται οἱ ταύτῃ ἀκούοντες ταῦτα ἐς φόβον κατιστέατο, ἐλπίζοντες πάγχυ ἀπολέεσθαι ἐς οἷα κακὰ ἧκον· πρὶν γὰρ ἢ καὶ ἀναπνεῦσαί σφεας ἔκ τε τῆς ναυηγίης καὶ τοῦ χειμῶνος τοῦ

wirres Gedränge und verlor die Schlacht (Thuk. II 83).

3f. *ἔργου εἶχοντο*: zu III 72 28. — *περ, quamvis* (III 131 6. VIII 13 3). — *καὶ κατὰ στόμα*, sc. *ἔργου εἶχοντο*, 'und zwar von vorn', Front gegen Front; ein Beweis ihrer zum Angriff ungünstigen Stellung sowohl als ihrer Unerschrockenheit.

6. *Γόργου*: zu VII 98 6.

9. *Λυκομήδης*, als Trierarch.

10. *ἑτεραλκέως*: s. IX 103 7.

12. *ἦν μὲν-θέρος*, eig. ein Nebenumstand, 'obgleich mitten in sommerlicher Jahreszeit', hat zur Hebung des Kontrastes selbständige Fügung. — Auch dies seltsame Phaenomen ist dem Autor ein *θεῖον*; s. unten c. 13 9.

5. *τὰς πρώρας*: die Schiffe waren nufs Land gezogen. — *ἐτάρασσον*, schlugen an die Blätter der wenigstens mit dem unteren Theile aus dem Schiffe hervorragenden Riemen, rissen sie aus ihrer ordnungsmäfsigen Reihenlage, und vermehrten durch das Krachen und Brechen die Schrecknisse der Nacht.

6. *στρατιῶται*, die Schiffsmannschaft (c. 10 1).

8. *ἐς οἷα*: vgl. I 31 20. — *πρὶν ἢ καί*: zu VI 109 25.

γενομένου κατὰ Ἥλιον, ὑπέλαβε ναυμαχίη καρτερή, ἐκ δὲ τῆς ναυμαχίης ὄμβρος τε λάβρος καὶ ῥεύματα ἰσχυρὰ ἐς θάλασσαν ὡρμημένα βρονταί τε σκληραί. καὶ τούτοισι μὲν τοιαύτη ἡ νὺξ ἐγίνετο, τοῖσι δὲ ταχθεῖσι αὐτῶν περιπλώειν Εὔβοιαν ἡ αὐτὴ περ ἐοῦσα νὺξ πολλὸν ἦν ἔτι ἀγριωτέρη, τοσούτῳ ὅσῳ ἐν πελάγεϊ φερομένοισι ἐπέπιπτε. καὶ τὸ τέλος σφι ἐγένετο ἄχαρι· ὡς γὰρ δὴ πλώουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο ἐοῦσι κατὰ τὰ Κοῖλα τῆς Εὐβοίης, φερόμενοι τῷ πνεύματι καὶ οὐκ εἰδότες τ˜ ἐφέροντο ἐξέπιπτον πρὸς τὰς πέτρας. ἐποιέετό τε πᾶν ὑπὸ τοῦ θεοῦ ὅκως ἂν ἐξισωθείη τῷ Ἑλληνικῷ τὸ Περσικὸν μηδὲ πολλῷ πλέον εἴη. οὗτοι μέν νυν περὶ τὰ Κοῖλα τῆς Εὐβοίης διεφθείροντο· οἱ δὲ ἐν Ἀφετῇσι βάρβαροι, ὡς σφι ἀσμένοισι ἡμέρη ἐπέλαμψε, ἀτρέμας τε εἶχον τὰς νέας καί σφι ἀπεχρᾶτο κακῶς πρήσσουσι ἡσυχίην ἄγειν ἐν τῷ παρεόντι. τοῖσι δὲ Ἕλλησι ἐπεβώθεον νέες τρεῖς καὶ πεντήκοντα Ἀττικαί. αὗταί τε δή σφεας ἐπέρρωσαν ἀπικόμεναι, καὶ ἅμα ἀγγελίη ἐλθοῦσα ὡς τῶν βαρβάρων οἱ περιπλώοντες τὴν Εὔβοιαν πάντες εἴησαν διεφθαρμένοι ὑπὸ τοῦ γενομένου χειμῶνος. φυλάξαντες δὴ τὴν αὐτὴν ὥρην, πλώοντες ἐπέπεσον νησὶ Κιλίσσῃσι· ταύτας δὲ διαφθείραντες, ὡς εὐφρόνη ἐγένετο, ἀπέπλωον ὀπίσω ἐπὶ τὸ Ἀρτεμίσιον.

Τρίτῃ δὲ ἡμέρῃ δεινόν τέ τι ποιησάμενοι οἱ στρατηγοὶ τῶν βαρβάρων νέας οὕτω σφι ὀλίγας λυμαίνεσθαι, καὶ τὸ ἀπὸ Ξέρξεω δειμαίνοντες, οὐκ ἀνέμειναν ἔτι

13. 2. *ταχθεῖσι*, wie c. 7 9.

6. *τὸ ὕδωρ*, allein mit dem Artikel, weil schon oben besprochen.

7. Westlich vom Kap Geraestos (c. 7 5) wendet sich die Küste nordwärts und zieht sich mit schroffen Abfällen, zahlreichen steilen Buchten und Vorsprüngen und verborgenen Klippen etwa acht M. weit bis zur Küstenebene von Eretria (Strabon 445. Valer. Max. I 8 10).

9. *ὅκως ἄν*: zu V 98 22.

14. 9. *τὴν αὐτὴν ὥρην*: s. oben c. 9 6.

Zweite Schlacht bei Artemision (c. 15—17).

15. *δεινόν-τι*: zu V 33 9.

3. *τὸ ἀπὸ Ξέρξεω* ‘das Urtheil des X.’ über ihr Benehmen und die sich daran knüpfenden Folgen. Vgl. zu VII 101 13. IX. 7$^{\beta}$ 1.

τοὺς Ἕλληνας μάχης ἄρξαι, ἀλλὰ παρασκευασάμενοι κατὰ μέσον ἡμέρης ἀνῆγον τὰς νέας. συνέπιπτε δὲ ὥστε τὰς αὐτὰς ἡμέρας τάς τε ναυμαχίας γίνεσθαι ταύτας καὶ τὰς πεζομαχίας τὰς ἐν Θερμοπύλῃσι. ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασσαν περὶ τοῦ Εὐρίπου, ὥσπερ τοῖσι ἀμφὶ Λεωνίδεα τὴν ἐσβολὴν φυλάσσειν. οἱ μὲν δὴ παρεκελεύοντο ὅκως μὴ παρήσουσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους, οἱ δ' ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες τοῦ πόρου κρατήσουσι. ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρτεμισίῳ. οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν νεῶν ἐκυκλεῦντο, ὡς περιλάβοιεν αὐτούς. ἐνθεῦτεν οἱ Ἕλληνες ἐπανέπλωόν τε καὶ συνέμισγον. ἐν ταύτῃ τῇ ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι ἐγίνοντο. ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ πλήθεος αὐτὸς ὑπ' ἑωυτοῦ ἔπιπτε, ταρασσομενέων τε τῶν νεῶν καὶ περιπιπτουσέων περὶ ἀλλήλας· ὅμως μέντοι ἀντεῖχε καὶ οὐκ εἶκε· δεινὸν γὰρ χρῆμα ἐποιεῦντο ὑπὸ νεῶν ὀλιγέων ἐς φυγὴν τράπεσθαι. πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο πολλοὶ δὲ ἄνδρες, πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν βαρβάρων καὶ ἄνδρες. οὕτω δὲ ἀγωνιζόμενοι διέστησαν χωρὶς ἑκάτεροι. Ἐν ταύτῃ τῇ ναυμαχίῃ Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν, οἳ ἄλλα τε ἔργα μεγάλα ἀπεδέξαντο καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνίδας πέντε. τῶν δὲ Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην ἠρίστευσαν Ἀθηναῖοι καὶ Ἀθηναίων

5f. *συνέπιπτε*: zu V 36 2. — *τὰς αὐτὰς ἡμέρας*: vom Akkusativ zu VII 50 22.

16. 3. *μηνοειδές*, substantivisch. Vgl. zu IV 62 7.

6. *παραπλήσιοι*, an Streitkräften. Denn die Feinde, wenn auch an Zahl überlegen, konnten ihre Massen nicht entwickeln.

7. *μεγάθεός τε καὶ πλήθεος*, verbundene Synonyma, wie IV 108 2. 109 9 *μέγας τε καὶ πολλός*. Vgl. zu V 4 9.

13. *ἀγωνιζόμενοι*, seltsam st. *ἀγωνισάμενοι*. Vgl. I 76 18. — *διέστησαν χωρίς*: über Aehnliches zu III 16 4.

17. 5. Plut. Them. 8 *Πίνδαρος οὐ κακῶς ἔοικε-ἐπὶ τῆς ἐν Ἀρτεμισίῳ μάχης εἰπεῖν, „Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν Κρηπῖδ' ἐλευθερίας“ . . . . ἔχει δὲ ναὸν οὐ μέγαν Ἀρτέμιδος ἐπίκλησιν προσηφὰς, καὶ δένδρα περὶ αὐτῷ πέφυκε καὶ στῆλαι κύκλῳ λίθου λευκοῦ πεπήγασιν . . ἐν*

Κλεινίης ὁ Ἀλκιβιάδεω, ὃς δαπάνην οἰκηίην παρεχόμενος ἐστρατεύετο ἀνδράσι τε διηκοσίοισι καὶ οἰκηίῃ νηί.

18 *Ὡς δὲ διέστησαν, ἄσμενοι ἑκάτεροι ἐς ὅρμον ἠπείγοντο. οἱ δὲ Ἕλληνες ὡς διακριθέντες ἐκ τῆς ναυμαχίης ἀπηλλάχθησαν, τῶν μὲν νεκρῶν καὶ τῶν ναυηγίων ἐπεκράτεον, τρηχέως δὲ περιεφθέντες, καὶ οὐκ ἥκιστα Ἀθηναῖοι τῶν αἱ ἡμίσεαι τῶν νεῶν τετρωμέναι ἦσαν, δρησμὸν δὴ ἐβούλευον ἔσω ἐς τὴν Ἑλλάδα.*

19 *νόῳ δὲ λαβὼν ὁ Θεμιστοκλέης ὡς εἰ ἀπορραγείη ἀπὸ τοῦ βαρβάρου τό τε Ἰωνικὸν φῦλον καὶ τὸ Καρικόν, οἷοί τε εἴησαν τῶν λοιπῶν κατύπερθε γενέσθαι, ἐλαν-*

μιᾷ δὲ τῶν στηλῶν ἐλεγεῖον ἦν τόδε γεγραμμένον· Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας Παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει Ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὥλετο Μήδων, Σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

6 f. *Κλεινίης*: sein Sohn war der berühmte Alkibiades. Er fiel in der Schlacht bei Koroneia (447; Plut. Alk. 1). — *οἰκηίην*: vgl. V 47 5. Sonst gab der Staat dem bestellten Trierarchen den Schiffsrumpf nebst dem Mast und zahlte für die Bemannung Sold und Verpflegung, jener besorgte nur die Ausrüstung und mufste das Schiff seefähig erhalten. — *διηκοσίοισι*: vgl. VII 184 8.

Rückzug der Hellenen. Schaden der Euboeer. Themistokles und die Ioner. Perser auf Euboea (c. 18—23).

18. *ἄσμενοι*, nach so hartem Straufse. Od. *ψ* 238 *ἀσπάσιοι δ' ἐπέβαν γαίης κακότητα φυγόντες*, *ι* 62 *προτέρω πλέομεν-Ἄσμενοι ἐκ θανάτου*. Oben c. 14 2 u. c. 130 17.

4. *ἐπεκράτεον*, ein Beweis ihrer Ueberlegenheit.

5. *τετρωμέναι*: zu VI 16 3.

6. *δή*, *iam*, *tandem*, nachdem der Plan schon einmal aufgegeben war (c. 4 5). Der Beschlufs ward noch am selbigen Abend gefafst und in derselben Nacht ausgeführt; vgl. c. 23 6.

19. 2. *τοῦ βαρβάρου*, Nomin. *τὸ βάρβαρον*. Vgl. I 57 11. 58 7. 60 12. III 115 9. 139 2. VII 63 3. Attisch *τὸ βαρβαρικόν*.

3 ff. Die Worte *ἐλαυνόντων-ταύτην* haben weder zu *νόῳ λαβὼν-γενέσθαι* noch zu dem Hauptsatze *συλλέξας-ἀρίστους* einen sachlichen Bezug, sind aber hier eingeschoben, um den Vorschlag des Them. *ἐπὶ δὲ τοῖσι κατήκουσι κτλ.* (5 ff.) ohne weitere Abschweifung sofort unschliefsen zu können. Dabei ist das Schicksal der euboeischen Heerden dem Autor, wegen des bezüglichen Orakelspruches (c. 20) und zur Charakteristik des Them., interessant genug, um über die angekündigte List vorläufig mit einer blofsen Andeutung (5 ff.) wegzugehen und sich zuvörderst mit jener zu beschäftigen. — *ἐλαυνόντων*, nicht *ἐλασάντων*. Die Einwohner der längs dieser Küste verstreuten wohlhabenden Ortschaften (c. 23 11) trieben, im Vertrauen auf die anwesende Flotte und die Zusage des Them., ihre Heerden nach wie vor in die (noch heute) mit üppiger Vegetation bedeckten Thäler und Gehänge des Gebirgs hinauf und führ-

νόντων τῶν Εὐβοέων πρόβατα ἐπὶ τὴν θάλασσαν ταύτην, συλλέξας τοὺς στρατηγοὺς ἔλεγέ σφι ὡς δοκέοι ἔχειν τινὰ παλάμην, τῇ ἐλπίζοι τῶν βασιλέος συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου, ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι τάδε ποιητέα εἶναί σφι ἔλεγε, τῶν τε προβάτων τῶν Εὐβοϊκῶν ὅσα τις ἐθέλοι καταθύειν (κρέσσον γὰρ εἶναι τὴν στρατιὴν ἔχειν ἢ τοὺς πολεμίους), παραίνεέ τε προειπεῖν τοῖσι ἑωυτῶν ἑκάστους πῦρ ἀνακαίειν· κομιδῆς δὲ πέρι τὴν ὥρην αὐτῷ μελήσειν, ὥστε ἀσινέας ἀπικέσθαι ἐς τὴν Ἑλλάδα. ταῦτα ἤρεσέ σφι ποιέειν, καὶ αὐτίκα πῦρ ἀνακαυσάμενοι ἐτράποντο πρὸς τὰ πρόβατα. οἱ γὰρ Εὐβοέες παραχρησάμενοι τὸν Βάκιδος χρησμὸν ὡς οὐδὲν λέγοντα, οὔτε τι ἐξεκομίσαντο οὐδὲν οὔτε προεσά-

ten sie mit Abendzeit in die Küstenebene zurück. — *ταύτην*, bei Artemision und der Umgegend, wo die Flotte lag. (Die Lr. *ταύτη συλλέξας* ist der mifsglückte Versuch eines alten Recensenten den vermifsten Zusammenhang mit *ἑλαυνόντων* . . herzustellen).

10 ff. Der Infinitiv *καταθύειν* fügt sich an die in *ποιητέα* liegende Aufforderung, die für das zweite Glied einen selbständigen Ausdruck erhält (*παραίνεε*). Dieser zweite Vorschlag ist offenbar der wichtigere; es galt die Feinde durch die Lagerfeuer zu täuschen, um für den Rückzug einen Vorsprung zu gewinnen. — *πῦρ ἀνακαίειν*, im Lager am Ufer. Vgl. c. 9 3.

13. *ὥρην*, wohl mit Rücksicht auf die wechselnde Richtung der Strömung in der Meerenge (zu VII 98 3), durch die sie ihren Weg zu nehmen hatten.

20. 2. *παραχρησάμενοι*: zu I 108 15. — *Βάκις*, wahrscheinlich von *βάζειν* (*βαχ*), 'Sager, Verkünder' (*vates*), ist der fingirte Verfasser einer Sammlung von *χρησμοί*, ähnlich denen die unter den Namen der Orpheus Musaeos Lysistratos, der Sibylle u. A., etwa seit dem 7. Jahrh. in Umlauf gekommen waren, und besonders durch die gläubige Pflege des Peisistratos und seiner Söhne (zu VII 6 12) ein nicht unbedeutendes Ansehen und Einfluss auf die Entschliefsungen der Staaten erlangt hatten. Er galt für einen Boeoter aus Eleon (vgl. V 43 2); Nymphen, so hiefs es, hatten ihn zu prophetischer Ekstase erregt. Später tauchten noch andere Machwerke der Art auf (vgl. zu c. 77 2), und man besafs demnach neben dem boeotischen noch einen arkadischen und einen attischen Bakis (Schol. Ar. Pac. 1071). Die ältere von H. benutzte aber auch schon neuvermehrte Sammlung (s. noch c. 77. 96. IX 43) scheint sich auf Zeus als inspirirenden Urheber berufen zu haben (vgl. zu IX 43 1 die Stelle des Eurip. *χρησμὸς ὡς λέγει Διός*).

3. *τι-οὐδέν*: zu IV 19 3. — *ἐξεκομίσαντο*, Familie und sonstige bewegliche Habe (c. 32 9. IX 6 6), zu denen auch die Heerden gehörten, die zu der kurzen Episode veranlassen. Vgl. jedoch c. 4 8. —

ξαντο ὡς παρεσομένου σφι πολέμου, περιπετέα τε ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα. Βάκιδι γὰρ ὧδε ἔχει περὶ τούτων ὁ χρησμός.

φράζεο, βαρβαρόφωνος ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ
βύβλινον, Εὐβοίης ἀπέχειν πολὺ μηκάδας αἶγας.

τούτοισι δὲ οὐδὲν τοῖσι ἔπεσι χρησαμένοισι ἐν τοῖσι τότε παρεοῦσί τε καὶ προσδοκίμοισι κακοῖσι παρῆν σφι συμφορῇ χρᾶσθαι πρὸς τὰ μέγιστα.

21 Οἱ μὲν δὴ ταῦτα ἔπρησσον, παρῆν δὲ ὁ ἐκ Τρηχῖνος κατάσκοπος. ἦν μὲν γὰρ ἐπ' Ἀρτεμισίῳ κατάσκοπος Πολύας, γένος Ἀντικυρεύς, τῷ προσετέτακτο, καὶ εἶχε πλοῖον κατῆρες ἑτοῖμον, εἰ παλήσειε ὁ ναυτικὸς στρατός, σημαίνειν τοῖσι ἐν Θερμοπύλῃσι ἐοῦσι· ὡς δ' αὖτως ἦν Ἀβρώνιχος ὁ Λυσικλέος Ἀθηναῖος καὶ παρὰ Λεωνίδῃ ἑτοῖμος τοῖσι ἐπ' Ἀρτεμισίῳ ἐοῦσι ἀγγέλλειν τριηκοντέρῳ, ἤν τι καταλαμβάνῃ νεώτερον τὸν πεζόν. οὗτος ὦν ὁ Ἀβρώνιχος ἀπικόμενός σφι ἐσήμαινε τὰ γεγονότα περὶ Λεωνίδεα καὶ τὸν στρατὸν αὐτοῦ. οἱ δὲ ὡς ἐπύθοντο ταῦτα, οὐκέτι ἐς ἀναβολὰς ἐποιεῦντο τὴν

προεσάξαντο, sc. σιτία καὶ ποτά (I 190 9. V 34 5), für den Fall einer Belagerung. Doch meldet H. aufser der Plünderung der histiaeotischen Dörfer (c. 23 11) von keinem Angriff auf Euboea; auch segelte die pers. Flotte von dort ohne Aufenthalt nach Athen (c. 66).

4f. περιπετέα-πρήγματα 'hatten es sich zu Wege gebracht dafs das Unglück auf sie selber hereinbrach', dadurch nämlich dafs sie die hellen. Flotte zum Bleiben bewogen hatten (c. 4).

8. βύβλινον: s. VII 25 2. 34 3. 36 19.

9. οὐδὲν-χρησαμένοισι: zu V 72 22. — παρῆν 'mochten sie'; nicht ohne Ironie. — πρός, ungewöhnlich st. ἐς (c. 144 13).

21. ταῦτα ἔπρησσον: zu VI 79 10. — ὁ: zu V 35 7. — Τρηχῖνος: zu VII 176 6.

4. κατῆρες = κατηρτισμένον, sc. ἑρετμοῖσι od. ἐρέτῃσι. Vgl. ἐνήρης — παλήσειε: eine Hs. παλαίσειε (vgl. ἀεθλέειν, ἀγωνίζεσθαι). Valla las ἀπελάσειε (discessisset). Valckenaer wollte εἴ τι πταίσειε (vgl. 8).

6. Ἀβρώνιχος: zwei Jahre später bildete er mit Themistokles und Aristeides die Gesandtschaft, die wegen des Mauerbaus nach Sparta ging (Thuk. I 91).

8. ἤν τι καταλαμβάνῃ: oben 4 εἰ m. Opt. Umgekehrter Wechsel IX 48 20 ff. — νεώτερον: zu III 62 17.

11. οὐκ ἐς ἀναβολάς 'unverzüglich, alsbald', ein mit οὐκ ἐς μαχρήν vergleichharer, nicht seltener adverbialer Ausdruck. Thuk. VII 15 εὐθὺς καὶ μὴ ἐς ἀναβολὰς πράσσετε, Eur. Hel. 1297. Heraklid. 270. Isokr. Ep. I 10.

ἀποχώρησιν, ἐκομίζοντο δὲ ὡς ἕκαστοι ἐτάχθησαν, Κορίνθιοι πρῶτοι, ὕστατοι δὲ Ἀθηναῖοι. Ἀθηναίων δὲ **22**
νέας τὰς ἄριστα πλωούσας ἐπιλεξάμενος Θεμιστοκλέης ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐντάμνων ἐν τοῖσι λίθοισι γράμματα, τὰ Ἴωνες ἐπελθόντες τῇ ὑστεραίῃ ἡμέρῃ ἐπὶ τὸ Ἀρτεμίσιον ἐπελέξαντο. τὰ δὲ γράμματα τάδε ἔλεγε. „Ἄνδρες Ἴωνες, οὐ ποιέετε δίκαια ἐπὶ τοὺς πατέρας στρατευόμενοι καὶ τὴν Ἑλλάδα καταδουλούμενοι. ἀλλὰ μάλιστα μὲν πρὸς ἡμέων γίνεσθε· εἰ δὲ ὑμῖν ἐστι τοῦτο μὴ δυνατὸν ποιῆσαι, ὑμεῖς δὲ ἔτι καὶ νῦν ἐκ τοῦ μέσου ἡμῖν ἔζεσθε καὶ αὐτοί, καὶ τῶν Καρῶν δέεσθε τὰ αὐτὰ ὑμῖν ποιέειν. εἰ δὲ μηδέτερον τούτων οἷόν τε γίνεσθαι, ἀλλ' ὑπ' ἀναγκαίης μέζονος κατέζευχθε ἢ ὥστε ἀπίστασθαι, ὑμεῖς δὲ ἐν τῷ ἔργῳ, ἐπεὰν συμμίσγωμεν, ἐθελοκακέετε, μεμνημένοι ὅτι ἀπ' ἡμέων γεγόνατε καὶ ὅτι ἀρχῆθεν ἡ ἔχθρη πρὸς τὸν βάρβαρον ἀπ' ὑμέων ἡμῖν γέγονε." Θεμιστοκλέης δὲ ταῦτα ἔγραψε, δοκέειν ἐμοί, ἐπ' ἀμφότερα νοέων, ἵνα ἢ λαθόντα τὰ γράμματα βασιλέα Ἴωνας ποιήσῃ μεταβαλεῖν καὶ γενέσθαι πρὸς ἑωυτῶν, ἢ ἐπείτε ἀνενειχθῇ καὶ διαβληθῇ πρὸς Ξέρξεα, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας καὶ τῶν ναυμαχιέων αὐτοὺς ἀπόσχῃ.

Θεμιστοκλέης μὲν ταῦτα ἐνέγραψε, τοῖσι δὲ βαρ- **23**
βάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ Ἰστιαιεὺς ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων. οἱ δ' ὑπ' ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νέας δὲ ταχέας ἀπέστειλαν προκατοψομένας. ἀπαγγειλάντων δὲ τούτων τὰ ἦν, οὕτω δὴ ἅμα ἡλίῳ

22. 3. *περὶ τὰ πότιμα ὕδατα*, an den Küsten von Histiaeotis, wohin die feindliche Flotte am folgenden Tage (Z. 4 mit c. 23) segelte.

5. *ἐπελέξαντο*: zu c. 88 9.

6. Sonst *ἔλεγε τάδε* (I 124 4. 187 5 u. 16. II 106 14. IV 91 4). Vgl. zu VII 23 18. VIII 41 10. 103 5.

7. *πατέρας*: zu VII 51 8.

9. *ὑμεῖς δέ*: zu I 112 9. Ebenso unten 13.

12. Vgl. I 11 16.

13. *ἔργῳ*: zu VI 29 5.

18. *μεταβαλεῖν*: zu VII 52 3.

19. *ἐπείτε ἀνενειχθῇ*, ohne *ἄν*; zu IV 172 14.

23. 6. *τούτων*, die Mannschaft dieser Schiffe.

σκιδναμένῳ πᾶσα ἡ στρατιὴ ἔπλωε ἁλὴς ἐπὶ τὸ Ἀρτεμίσιον. ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ μέχρι μέσου ἡμέρης, τὸ ἀπὸ τούτου ἔπλωον ἐς Ἱστίαιαν. ἀπικόμενοι δὲ τὴν πόλιν ἔσχον τῶν Ἱστιαιέων, καὶ τῆς Ἑλλοπίης μοίρης γῆς δὲ τῆς Ἱστιαιήτιδος τὰς παραθαλασσίας κώμας πάσας ἐπέδραμον.

24 Ἐνθαῦτα δὲ τούτων ἐόντων, Ξέρξης ἑτοιμασάμενος τὰ περὶ τοὺς νεκροὺς ἔπεμπε ἐς τὸν ναυτικὸν στρατὸν κήρυκα. προετοιμάσατο δὲ τάδε· ὅσοι τοῦ στρατοῦ τοῦ ἑωυτοῦ ἦσαν νεκροὶ ἐν Θερμοπύλῃσι (ἦσαν δὲ καὶ δύο μυριάδες), ὑπολιπόμενος τούτων ὡς χιλίους, τοὺς λοιποὺς τάφρους ὀρυξάμενος ἔθαψε, φυλλάδα τε ἐπιβαλὼν καὶ γῆν ἐπαμησάμενος, ἵνα μὴ ὀφθείησαν ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ. ὡς δὲ διέβη ἐς τὴν Ἱστίαιαν ὁ κῆρυξ, σύλλογον ποιησάμενος παντὸς τοῦ στρατοπέδου ἔλεγε τάδε. „ἄνδρες σύμμαχοι, βασιλεὺς Ξέρξης τῷ βουλομένῳ ὑμέων παραδιδοῖ ἐκλιπόντα τὴν τάξιν καὶ ἐλθόντα θηήσασθαι ὅκως μάχεται πρὸς τοὺς ἀνοήτους τῶν ἀνθρώπων, οἳ ἤλπισαν τὴν βασιλέος δύναμιν ὑπερβαλέεσθαι.“ ταῦτα ἐπαγγειλαμένου, μετὰ ταῦτα οὐδὲν ἐγίνετο πλοίων σπανιώτερον· οὕτω πολλοὶ ἤθελον θηή-

7. *σκιδναμένῳ*, eig. vom ausgestrahlten Lichte. Il. η 451 *ὅσον τ' ἐπικίδναται ἠώς*, ψ 227 *κροκόπεπλος ὑπερ ἅλα κίδναται ἠώς*.

9f. *Ἱστίαια*, später *Ὠρεός*. — *Ἑλλοπίη* war der alte Name der nördlichen Hälfte der Insel; davon war das Gebiet der Histiaeer, der fruchtbare Küstenstrich im Norden, ein Theil. *γῆς δὲ τῆς Ἱστιαιήτιδος* ist also eine zweite nähere Bestimmung. Zu dem in dieser Art regelmäfsigen *δέ* vgl. z. B. VII 10α *πατρὶ τῷ σῷ ἀδελφεῷ δὲ ἐμῷ*, 155 10 *τῶν σφετέρων δούλων καλεομένων δὲ Κυλλυρίων*.

Leichenschau bei Thermopylae (c. 24f.). Feier der Olympien (c. 26). Fehden der Thessaler und Phoker; die Perser in Phokis (c. 27—33).

24. 2. *τοὺς νεκρούς*, sc. *τοὺς ἑωυτοῦ* (c. 25 7).

4. *καὶ δύο*: zu II 44 17.

6f. *φυλλάδα ἐπιβαλών*, sc. *ἐπὶ τοὺς νεκρούς*; wohl ein Bestattungsgebrauch, wie auch *ἐπαμᾶσθαι γῆν* vom Aufhäufen des Grabhügels ein üblicher Ausdruck ist. Anth. Pal. VII 404 *ψυχράν σευ κεφαλᾶς ἐπαμήσομαι αἰγιαλῖτιν Θῖνα κατὰ κρυεροῦ χεύαμενος νέκυος*, 446 *γαῖαν-ἂν ἐπί οἱ βαθύκολπος ἀμάσατο δάκρυσι νύμφα*. Darum ist *ἵνα . . ἔθαψε* anzuschliefsen.

11. *παραδιδοῖ*: zu VI 103 9.

25. *μετὰ ταῦτα*: vgl. zu VII 18 23.

σασθαι. διαπεραιωθέντες δὲ ἐθηεῦντο διεξιόντες τοὺς νεκρούς· πάντες δὲ ἠπιστέατο τοὺς κειμένους εἶναι πάντας Λακεδαιμονίους καὶ Θεσπιέας, ὁρέοντες καὶ τοὺς εἵλωτας. οὐ μὲν οὐδ' ἐλάνθανε τοὺς διαβεβηκότας Ξέρξης ταῦτα πρήξας περὶ τοὺς νεκροὺς τοὺς ἑωυτοῦ· καὶ γὰρ δὴ καὶ γελοῖον ἦν· τῶν μὲν χίλιοι ἐφαίνοντο νεκροὶ κείμενοι, οἱ δὲ πάντες ἐκέατο ἀλέες συγκεκομισμένοι ἐς τὠυτὸ χωρίον, τέσσερες χιλιάδες. ταύτην μὲν τὴν ἡμέρην πρὸς θέην ἐτράποντο, τῇ δ' ὑστεραίῃ οἱ μὲν ἀπέπλωον ἐς Ἱστίαιαν ἐπὶ τὰς νέας, οἱ δὲ ἀμφὶ Ξέρξεα ἐς ὁδὸν ὥρμεατο.

Ἦκον δέ σφι αὐτόμολοι ἄνδρες ἀπ' Ἀρκαδίης ὀλίγοι τινές, βίου τε δεόμενοι καὶ ἐνεργοὶ βουλόμενοι εἶναι. ἄγοντες δὲ τούτους ἐς ὄψιν τὴν βασιλέος ἐπυνθάνοντο οἱ Πέρσαι περὶ τῶν Ἑλλήνων τὰ ποιέοιεν· εἷς δέ τις πρὸ πάντων ἦν ὁ εἰρωτέων αὐτοὺς ταῦτα. οἱ δέ σφι ἔλεγον ὡς Ὀλύμπια ἄγοιεν καὶ θεωρέοιεν ἀγῶνα γυμνικόν τε καὶ ἱππικόν. ὁ δὲ ἐπείρετο ὅ τι τὸ ἆεθλον εἴη σφι κείμενον, περὶ ὅτευ ἀγωνίζονται· οἱ δ' εἶπον τῆς ἐλαίης

4. ἠπιστέατο: zu I 3 4.
6. οὐ μὲν οὐδ': zu VI 45 5.
7. ταῦτα, das vorhin c. 24 Erzählte.
8. μέν: zu V 98 13.
10. τέσσερες χιλιάδες: so viele kämpften allerdings (VII 202); aber es fielen nur 300 Spartiaten und 700 Thespier; der Rest von 3000 müfste also aus Heloten bestanden haben, was grofsem Zweifel unterliegt (zu VII 229 11). Wahrscheinlich hat sich H. durch die Fassung der Inschrift (VII 228 6) täuschen lassen.

26. ἀπ' Ἀρκαδίης, angeblich aus dem Orte Καρύαι (Vitruv. I 1) an der lakonischen Gränze.
2. βίου: zu I 30 22. — ἐνεργοὶ β. εἶναι 'Beschäftigung, Dienste suchend'.
4. τά: zu I 56 5.
6. Ist die Erzählung von den arkad. Ueberläufern, wie wohl nicht zu bezweifeln, wahr, so mufs die Zeit ihrer Ankunft bei Xerxes mindestens um einen Monat und zwar in des Königs Aufenthalt zu Therme (VII 131) zurückgelegt werden. Denn der letzte Tag der fünftägigen olympischen Spiele fiel auf den Vollmond nach der Sommerwende d. i. für das Jahr 480 auf den 25. Juni. Zwischen dem Ausmarsch von Therme aber und der Schlacht bei Salamis (20. Sept.) liegen, nach H.'s Angaben (VII 183 7 u. 9. 192 2. VIII 15 1. 23 6. 66 3 f.), 27 Tage, so dafs jener Ausmarsch erst um Mitte August anzusetzen ist.
7. Konstr. ὅ τι σφι εἴη κείμενον τὸ ἆεθλον ('als Kampfpreis'). Der Artikel, weil bei jedem ἀγών ein ἆεθλον vorausgesetzt wird.
8. ὅτευ: zu IV 8 4; anschliefsend an τὸ ἆεθλον.

τὸν διδόμενον στέφανον. ἐνθαῦτα εἶπας γνώμην γεναιοτάτην Τριτανταίχμης ὁ Ἀρταβάνου δειλίην ὤφλε πρὸς βασιλέος. πυνθανόμενος γὰρ τὸ ἄεθλον ἐὸν στέφανον ἀλλ᾽ οὐ χρήματα, οὔτε ἠνέσχετο σιγέων εἶπέ τε ἐς πάντας τάδε, „παπαὶ Μαρδόνιε, κοίους ἐπ᾽ ἄνδρας ἤγαγες μαχεσομένους ἡμέας, οἳ οὐ περὶ χρημάτων τὸν ἀγῶνα ποιεῦνται ἀλλὰ περὶ ἀρετῆς.“ τούτῳ μὲν δὴ ταῦτα εἴρητο.

27 Ἐν δὲ τῷ διὰ μέσου χρόνῳ, ἐπείτε τὸ ἐν Θερμοπύλῃσι τρῶμα ἐγεγόνεε, αὐτίκα Θεσσαλοὶ πέμπουσι κήρυκα ἐς Φωκέας, ἅτε σφι ἐνέχοντες αἰεὶ χόλον, ἀπὸ δὲ τοῦ ὑστάτου τρώματος καὶ τὸ κάρτα. ἐσβαλόντες γὰρ παστρατιῇ αὐτοί τε οἱ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι αὐτῶν ἐς τοὺς Φωκέας, οὐ πολλοῖσι ἔτεσι πρότερον ταύτης τῆς βασιλέος στρατηλασίης, ἐσσώθησαν ὑπὸ τῶν Φωκέων καὶ περιέφθησαν τρηχέως. ἐπείτε γὰρ κατειλήθησαν ἐς τὸν Παρνησσὸν οἱ Φωκέες ἔχοντες μάντιν Τελλίην τὸν Ἠλεῖον, ἐνθαῦτα ὁ Τελλίης οὗτος σοφίζεται αὐτοῖσι τοιόνδε. γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων τοὺς ἀρίστους, αὐτούς τε τούτους καὶ τὰ

9. *τὸν διδόμενον στέφανον*, sc. *κεῖσθαι τὸ ἄεθλον*, ‘den Kranz deu man dem Sieger zu ertheilen pflegte’. Er war nur ein Zeichen des Sieges und ward wohl immer verliehen, auch wo wirkliche Werthpreise ausgesetzt waren. Die vier Nationalspiele waren sämmtlich *ἀγῶνες στεφανῖται*. Reelle Belohnung erhielt der Sieger von seiner Vaterstadt.

10. Tritantaechmes spricht ganz im Geiste seines Vaters; s. zu IV 83 4. VII 46 17.

27. *ἐπείτε-αὐτίκα* ‘gleich nachdem’.

3. S. VII 176 19 ff.

4. *καὶ τὸ κάρτα* ‘ganz besonders’.

5. *σύμμαχοι*: s. zu VII 132 2.

6 ff. Die Zeit dieser Fehde ist nicht bestimmbar. Vom Anlafs hat nur Plut. mor. 244 die Andeutung *ἄσπονδος ἦν Θετταλοῖς πρὸς Φωκέας πόλεμος· οἱ μὲν γὰρ ἄρχοντας αὐτῶν καὶ τυράννους ἐν ταῖς Φωκικαῖς πόλεσιν ἡμέρᾳ μιᾷ πάντας ἀπέκτειναν· οἱ δὲ πεντήκοντα καὶ διακοσίους ὁμήρους ἐκείνων κατηλόησαν, εἶτα παστρατιᾷ διὰ Λοκρῶν ἐνέβαλον*, worans zu entnehmen dafs es den thessal. Machthabern endlich doch gelungen war die Phoker unter ihre Symmachie zu bringen und in den Städten Zwingherren einzusetzen, dafs aber die Phoker sich des Joches plötzlich wieder entledigten.

9. *ἐς τὸν Παρνησσόν*: s. c. 32 4 ff. Vom sonstigen Verlaufe dieses Kampfes hat Pausan. X 1 Näheres.

10. *Τελλίην*, wahrscheinlich aus dem bekannten Sehergeschlechte der Telliaden (IX 37 5).

ὅπλα αὐτῶν, νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι, προείπας αὐτοῖσι, τὸν ἂν μὴ λευκανθίζοντα ἴδωνται, τοῦτον κτείνειν. τούτους ὧν αἵ τε φυλακαὶ τῶν Θεσσαλῶν πρῶται ἰδοῦσαι ἐφοβήθησαν, δόξασαι ἄλλο τι εἶναι τέρας, καὶ μετὰ τὰς φυλακὰς αὐτὴ ἡ στρατιὴ οὕτω ὥστε τετρακισχιλίων κρατῆσαι νεκρῶν καὶ ἀσπίδων Φωκέας, τῶν τὰς μὲν ἡμισέας ἐς Ἄβας ἀνέθεσαν τὰς δὲ ἐς Δελφούς· ἡ δὲ δεκάτη ἐγένετο τῶν χρημάτων ἐκ ταύτης τῆς μάχης οἱ μεγάλοι ἀνδριάντες οἱ περὶ τὸν τρίποδα συνεστεῶτες ἔμπροσθε τοῦ νηοῦ τοῦ ἐν Δελφοῖσι, καὶ ἕτεροι τοιοῦτοι ἐν Ἄβῃσι ἀνακέαται. ταῦτα μέν νυν τὸν πεζὸν ἐργάσαντο τῶν Θεσσαλῶν οἱ Φωκέες πολιορκέοντα ἑωυτούς· ἐσβαλοῦσαν δὲ ἐς τὴν χώρην τὴν Ἵππον αὐτῶν ἐλυμήναντο ἀνηκέστως. ἐν γὰρ τῇ ἐσβολῇ ἥ ἐστι κατ' Ὑάμπολιν, ἐν ταύτῃ τάφρον με-

16 f. ἄλλο-τέρας 'etwas Anderes und zwar etwas Uebernatürliches'. Vgl. zu I 193 14.

19. ἐς Ἄβας: zu I 46 11.

20. ἡ, weil die δεκάτη herkömmlich und in gewissem Grade pflichtmäfsig war; ebenso V 77 21.

21 f. περὶ τὸν τρίποδα: vgl. IX 62 ἐγίνετο δὲ πρῶτον περὶ τὰ γέρρα μάχη. In beiden Fällen ist die räumliche Anschauung ('um', *circa*) die nähere; sonst ('um', *de*) wäre der Genitiv geboten. — συνεστεῶτες = μαχόμενοι, ἐρίζοντες (I 208 1). Die Gruppe stellte den von Bildnern und Malern häufig behandelten Streit um den delphischen Dreifufs dar, den Herakles davontragen will, Apollon aber als rechtmäfsiger Besitzer vertheidigt. Paus. X 13 7 Ἡρακλῆς δὲ καὶ Ἀπόλλων ἔχονται τοῦ τρίποδος καὶ ἐς μάχην περὶ αὐτοῦ καθίστανται· Λητὼ μὲν δὴ καὶ Ἄρτεμις Ἀπόλλωνα, Ἀθηνᾶ δὲ Ἡρακλέα ἐπέχουσι τοῦ θυμοῦ. Φωκέων καὶ τοῦτό ἐστιν ἀνάθημα, ὅτε σφίσιν ἐπὶ τοὺς Θεσσαλοὺς Τελλίας ἡγήσατο Ἰλεῖος. τὰ μὲν δὴ ἄλλα ἀγάλματα Λίυλλός τε ἐν κοινῷ καὶ Ἀμυκλαῖος, τὴν δὲ Ἀθηνᾶν καὶ Ἄρτεμιν Χίονίς ἐστιν εἰργασμένος· Κορινθίους δὲ εἶναί φασιν αὐτούς. Von diesem Werke scheint in zwei Thonreliefs des besten Stiles eine Nachbildung erhalten zu sein (Welcker alte Denkm. II. Taf. XV 29). Paus. X 1 10 weifs auch noch von anderen Weihgaben.

28. 3 ff. Mit diesem Unfalle der Reiterei hatte der Krieg begonnen (Paus. X 1 3). Noch in später Zeit feierten die Phoker das Ereignifs, das ihre Befreiung von der thessal. Herrschaft zuerst begründete, durch ein grofses Jahresfest in Hyampolis (Plut. a. O.). — Ὑάμπολις, eine Gründung der vorhellen. Hyanten (Strab. 401. 424), im östl. Phokis, nahe bei Abae. An ihr vorbei führte eine Strafse aus Thessalien und dem opuntischen Lokris in die Kephissosebene bei Paropotamioi hinab; das Treffen selber fand weiter oben im Thale statt, am Ausgange des engen Gebirgseinschnittes, durch den man aus Lokris herüberkommt, bei Kleonae, einem Vororte von Hyam-

γάλην ὀρύξαντες ἀμφορέας κεινοὺς ἐς αὐτὴν κατέθηκαν, χοῦν δὲ ἐπιφορήσαντες καὶ ὁμοιώσαντες τῷ ἄλλῳ χώρῳ ἐδέκοντο τοὺς Θεσσαλοὺς ἐσβάλλοντας. οἱ δέ, ὡς ἀναρπασόμενοι τοὺς Φωκέας, φερόμενοι ἐσέπεσον ἐς τοὺς ἀμφορέας. ἐνθαῦτα οἱ ἵπποι τὰ σκέλεα διεφθάρησαν. **29** τούτων δή σφι ἀμφοτέρων ἐχόντων ἔγκοτον οἱ Θεσσαλοὶ πέμψαντες κήρυκα ἠγόρευον τάδε. „ὦ Φωκέες, ἤδη τι μᾶλλον γνωσιμαχέετε μὴ εἶναι ὁμοῖοι ἡμῖν. πρόσθε τε γὰρ ἐν τοῖσι Ἕλλησι, ὅσον χρόνον ἐκεῖνα ἡμῖν ἦνδανε, πλέον αἰεί κοτε ὑμέων ἐφερόμεθα· νῦν τε παρὰ τῷ βαρβάρῳ τοσοῦτο δυνάμεθα ὥστε ἐπ' ἡμῖν ἐστι τῆς γῆς τε ἐστερῆσθαι καὶ πρὸς ἠνδραποδίσθαι ὑμέας. ἡμεῖς μέντοι τὸ πᾶν ἔχοντες οὐ μνησικακέομεν, ἀλλ' ἡμῖν γενέσθω ἀντ' αὐτῶν πεντήκοντα τάλαντα ἀργυρίου, καὶ ὑμῖν ὑποδεκόμεθα τὰ ἐπιόντα ἐπὶ τὴν χώρην **30** ἀποτρέψειν." ταῦτά σφι ἐπηγγέλλοντο οἱ Θεσσαλοί. οἱ γὰρ Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδέν, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων αὖξον, ὡς ἐμοὶ δοκέειν, ἐμήδιζον ἂν οἱ Φωκέες. ταῦτα ἐπαγγελλομένων Θεσσαλῶν οὔτε δώσειν ἔφασαν χρήματα, παρέχειν τε σφίσι Θεσσαλοῖσι ὁμοίως μηδίζειν, εἰ ἄλλως βουλοίατο· ἀλλ' οὐκ ἔσε- **31** σθαι ἑκόντες εἶναι προδόται τῆς Ἑλλάδος. ἐπεὶ δὲ δὴ

polis (Plut. a. O. Xen. Hell. VI 4 27).

29. 3. *γνωσιμαχέετε*: zu III 25 18.

4. *ἐκεῖνα* = *τὰ ἐκείνων*; vgl. zu II 40 5. Zum Ausdruck vgl. e. 34 9. IX 19 3.

5. *πλέον-ἐφερόμεθα* = *πλέον ἐδυνάμεθα*, 'thaten es euch zuvor, waren euch überlegen' (an Geltung und Einflufs). Vgl. VII 168 23. 211 6 u. IV 4 9. Vielleicht eine Anspielung auf den ersten heiligen Krieg, in dem die Thessaler unter dem Aleuaden Eurylochos eine Rolle spielten, und überhaupt auf ihre Stellung in der delphischen oder pylischen Amphiktyonie.

8. *τὸ πᾶν* 'jegliche Macht'? (vgl. I 85 4). Vielleicht ist nber *ὑμέας ποιῆσαι* ausgefallen.

10. *τὰ ἐπιόντα*: vgl. I 209 16. VII 138 8.

30. 3. *κατά*: zu IV 48 4.

5. *τὰ Ἑλλήνων αὖξον*: derselbe Ausdruck IX 31 25. Vgl. zu III 80 31.

8. *εἰ ἄλλως*: zu VII 167 7.

ἀνηνείχθησαν οὗτοι οἱ λόγοι, οὕτω δὴ οἱ Θεσσαλοὶ κεχολωμένοι τοῖσι Φωκεῦσι ἐγένοντο ἡγεμόνες τῷ βαρβάρῳ τῆς ὁδοῦ. ἐκ μὲν δὴ τῆς Τρηχινίης ἐς τὴν Δωρίδα ἐσέβαλον· τῆς γὰρ Δωρίδος χώρης ποδεὼν στεινὸς ταύτῃ κατατείνει, ὡς τριήκοντα σταδίων μάλιστά κῃ εὖρος, κείμενος μεταξὺ τῆς τε Μηλίδος καὶ τῆς Φωκίδος χώρης, ἥπερ ἦν τὸ παλαιὸν Δρυοπίς· ἡ δὲ χώρη αὕτη ἐστὶ μητρόπολις Δωριέων τῶν ἐν Πελοποννήσῳ. ταύτην ὦν τὴν Δωρίδα γῆν οὐκ ἐσίναντο ἐσβαλόντες οἱ βάρβαροι· ἐμήδιζόν τε γὰρ καὶ οὐκ ἐδόκεε Θεσσαλοῖσι. ὡς **32** δὲ ἐκ τῆς Δωρίδος ἐς τὴν Φωκίδα ἐσέβαλον, αὐτοὺς μὲν τοὺς Φωκέας οὐκ αἱρέουσι. οἱ μὲν γὰρ τῶν Φωκέων ἐς τὰ ἄκρα τοῦ Παρνησσοῦ ἀνέβησαν. ἔστι δὲ καὶ ἐπιτηδέη δέξασθαι ὅμιλον τοῦ Παρνησσοῦ ἡ κορυ-

31. 4. Diese Strafse steigt von Trachis südwärts über den Oeta in das Thalbecken der östl. Doris, und führt von da südostwärts, dem Laufe des Kephissos folgend, durch Phokis nach Boeotien. Sie umgeht also die Thermopylen. Nach H.'s Darstellung dringen die Feinde nur auf diesem Wege nach Phokis hinüber; dann wäre aber der Kampf bei Thermopylae überflüssig gewesen. Sicherlich hatte Xerxes seine Heeresmassen in vier Kolonnen getheilt und war zugleich von Lokris aus durch die Pässe bei Tithronion (zu VII 217 8), Elateia und Hyampolis über die Gebirge gegangen; daher denn auch diese Orte unten c. 33 unter den auf dem Marsche verwüsteten stehen, während eine vierte Abtheilung über den Oeta stieg. Für die Reiterei scheint nur die Strafse von Hyampolis brauchbar gewesen zu sein.

5. *ποδεὼν στεινός*, weil eingeklemmt zwischen dem Kallidromos und dem malischen Gebiete im N. und der phokischen Gränze im Osten. Die eigentliche dorische Tetrapolis lag westlicher, auf den Abstürzen des Parnassos und wurde von dieser Strafse nicht berührt.

8. *Δρυοπίς*, weil früher von *Δρύοπες* bewohnt (c. 43 9). — *ἡ χώρη αὕτη*, nicht *Δρυοπίς* sondern *Δωρίς*. Zur Sache s. I 56. VIII 43.

11. *ἐμήδιζον*, *οἱ Δωριέες*. Vgl. c. 50 9.

32. 3. *οἱ μέν*, die in der Kephissos-ebene, deren Städte meist auf Abhängen des Parnassos standen.

5 ff. Die Angaben stimmen nicht recht zur Lokalität. Nach Plut. Sulla 15, der diese seine Heimathsgegend genau kannte, war *Τιθόρα* (so auch die Inschr.) ein *φρούριον ἀπορρῶγι χρημνῷ περιχοπτόμενον εἰς ὃ καὶ πάλαι ποτὲ Φωκέων οἱ Ξέρξην ἐπιόντα φεύγοντες ἀνεσχευάσαντο καὶ διεσώθησαν*. Später erweiterte sich dies Kastell zu einer umfangreichen festen Stadt, in deren Mauerresten heute das Dorf Belitza liegt; sie stand am Fufse einer senkrechten Felswand des Parnafs und war von einer Seite durch die steile Schlucht eines Giefsbaches (*Καχάλης*), an den hei-

φή, κατὰ Νέωνα πόλιν κειμένη ἐπ᾽ ἐωντῆς· Τιθορέα οὔνομα αὐτῇ· ἐς τὴν δὴ ἀνηνείκαντο καὶ αὐτοὶ ἀνέβησαν· οἱ δὲ πλεῦνες αὐτῶν ἐς τοὺς Ὀζόλας Λοκροὺς ἐξεκομίσαντο, ἐς Ἄμφισσαν πόλιν τὴν ὑπὲρ τοῦ Κρισαίου πεδίου οἰκεομένην. οἱ δὲ βάρβαροι τὴν χώρην πᾶσαν ἐπέδραμον τὴν Φωκίδα· Θεσσαλοὶ γὰρ οὕτω ἦγον τὸν στρατόν· ὁκόσα δὲ ἐπέσχον, πάντα ἐπέφλεγον καὶ ἔκειρον, καὶ ἐς τὰς πόλις ἐνιέντες πῦρ καὶ ἐς τὰ **33** ἱρά. πορευόμενοι γὰρ ταύτῃ παρὰ τὸν Κηφισὸν ποταμὸν ἐδῄουν πάντα, καὶ κατὰ μὲν ἔκαυσαν Ἀρυμὸν πόλιν κατὰ δὲ Χαράδρην καὶ Ἔρωχον καὶ Τεθρώνιον καὶ Ἀμφίκαιαν καὶ Νέωνα καὶ Πεδιέας καὶ Τριτέας καὶ Ἐλάτειαν καὶ Ὑάμπολιν καὶ Παραποταμίους καὶ Ἄβας, ἔνθα ἦν ἱρὸν Ἀπόλλωνος πλούσιον, θησαυροῖσί τε καὶ ἀναθήμασι πολλοῖσι κατεσκευασμένον· ἦν δὲ καὶ τότε καὶ νῦν ἔστι χρηστήριον αὐτόθι· καὶ τοῦτο τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν. καί τινας διώκοντες εἷλον

den andern durch starke Mauern gedeckt. 'Die Gipfel und Bergflächen oberhalb Belitza bieten weder einen bequemen noch sichern Zufluchtsort dar, da sie von Daulis aus ohne Schwierigkeit zu ersteigen sind, während Tithora, wenn es nach Plutarchs Zeugnifs schon damals befestigt war, sich wegen seiner vorzüglichen Lage leicht vertheidigen liefs. Aufserdem befindet sich in einiger Entfernung hinter Belitza stromaufwärts am Kachales eine Höhle, die während des letzten Befreiungskrieges eine grofse Menge Flüchtender aufnahm. Sie ist sehr geräumig, hat vortreffliches Triakwasser und ist vollkommen unnehmbar, und es ist wahrscheinlich dafs, wie die korykische Höhle von den Delphern (c. 36 10), so diese von den Bewohnern Neon's und anderer umliegenden Ortschaften als Zufluchtsort benutzt wurde'. Urlichs Rh. Mus. II 547. Die Stadt *Νέων* scheint mehr unterhalb in der Ebene gelegen zu haben, später aber, nach ihrer Zerstörung im phokischen Kriege (Paus. X 3 2), auf die Höhe verlegt und von da ab *Τιθόρα* genannt worden zu sein (Paus. X 32 8f.). Urlichs a. O. sucht ihre Reste mehr nordwärts in der Kephissos-ebene, in der heutigen *Παλαιὰ Φήβα* ('Alt-thehen'). — *ἐπὶ ἐωντῆς*: zu I 142 19. — *ἀνηνείκαντο*, se. *τὰ ἐωυτῶν* od. *πάντα* (IX 6 6). Aehnliche Ellipse gleich 9 u. c. 36 11.

12. *ἐπέσχον*: zu I 104 11.

33. 2 ff. *κατὰ μὲν - κατὰ δέ*: zu II 141 22. — *Ἀρυμός*, bei Anderen *Ἀρυμαία* u. *Ἀρυμία*. — *Τεθρώνιον*, auch *Τιθρώνιον*. — *Ἀμφίκαια*, später *Ἀμφίκλεια*. — *Πεδιέας καὶ Τριτέας*: die Namen dieser sonst nicht erwähnten Orte müssen *Πεδίεια* u. *Τρίτεια* gelautet haben.

6. *θησαυροῖσι*: zu I 14 8.

τῶν Φωκέων πρὸς τοῖσι οὔρεσι, καὶ γυναῖκάς τινας διέφθειραν μισγόμενοι ὑπὸ πλήθεος.

Παραποταμίους δὲ παραμειβόμενοι οἱ βάρβαροι ἀπίκοντο ἐς Πανοπέας. ἐνθεῦτεν δὲ ἤδη διακρινομένη ἡ στρατιὴ αὐτῶν ἐσχίζετο. τὸ μὲν πλεῖστον καὶ δυνατώτατον τοῦ στρατοῦ ἅμα αὐτῷ Ξέρξῃ πορευόμενον ἐπ' Ἀθήνας ἐσέβαλε ἐς Βοιωτούς, ἐς γῆν τὴν Ὀρχομενίων. Βοιωτῶν δὲ πᾶν τὸ πλῆθος ἐμήδιζε, τὰς δὲ πόλις αὐτῶν ἄνδρες Μακεδόνες διατεταγμένοι ἔσωζον, ὑπ' Ἀλεξάνδρου ἀποπεμφθέντες· ἔσωζον δὲ τῇδε, δῆλον βουλόμενοι ποιέειν Ξέρξῃ ὅτι τὰ Μήδων Βοιωτοὶ φρονέοιεν. οὗτοι μὲν δὴ τῶν βαρβάρων ταύτῃ ἐτράποντο, ἄλλοι δὲ αὐτῶν ἡγεμόνας ἔχοντες ὡρμέατο ἐπὶ τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, ἐν δεξιῇ τὸν Παρνησσὸν ἀπέργοντες. ὅσα δὲ

11. *ὑπὸ πλήθεος, τῶν μισγομένων.*

Weitermarsch nach Boeotien. Streifzug nach Delphi (c. 34—39).

34. Bei *Παραποτάμιοι* verengt sich die Ebene des oberen Kephissos zu einem schmalen vom Berge Hedyleion und einem Ausläufer des Parnafs gebildeten Thale; südlich davon tritt der Flufs in eine andere Ebene, an deren Südrande, auf einem Vorsprunge des Helikon, die alte Stadt *Πανοπεύς* (auch *Πανόπη, Φανοτεύς, Φανότεια*) lag. Von dort führt der Weg westwärts nach Daulis, am Fufse des Parnafs, und weiter nach Delphi; ostwärts ½ M. weit nach Chaeroneia, der boeotischen Gränzstadt. — *διακρινομένη*, von der Sonderung und Auswahl der Truppen; *ἐσχίζετο*, von der räumlichen Trennung.

3. *μέν*: zu V 98 13.

5. *ἐς γῆν τὴν Ὀρχομενίων* 'und zwar zunächst in das Gebiet von Orchomenos'. Vgl. VII 173 7.

7. *διατεταγμένοι*, näml. *ἄλλοι ἐς ἄλλας*. Vgl. VII 178 1.

8. *τῇδε-βουλόμενοι*: zu VII 19

12. Der Gedanke ist nicht ganz klar. Deutlicher wäre *ἐφ ρούρεον* st. *ἔσωζον*. Die maked. Kommandanten bewiesen durch ihre Anwesenheit dafs die von ihnen befehligten Städte auf pers. Seite stünden, und bewahrten sie dadurch vor pers. Besetzung und Heimsuchung.

9. *τὰ Μήδων φρονέοιεν*: zu II 162 27.

35. 3 ff. *ἀπέργοντες*: zu VII 43 11. — Von Daulis zieht der Weg anfangs in fast südlicher Richtung zwischen den Vorbergen des Parnassos hin und erreicht nach etwa zwei Stunden eine niedrig gelegene Schlucht, wo drei Wege zusammentreffen, von Daulis Lebadeia und Delphi. Dies ist der sagenberühmte Dreiweg (*τριοδος*) oder die *σχιστὴ* (*ὁδός*), wo Oedipus den ihm in der Enge entgegenkommenden Vater erschlug. Der Weg nach Delphi steigt in einer engen Schlucht hinauf, zwischen dem Parnafs zur Rechten und der Kirphis zur Linken; auf ihrer Höhe liegen Ruinen, welche die Stelle des seit den Perserkriegen verschollenen Ortes der *Αὐλίδαι* (od. *-δέες*) anzeigen mögen. Hier

καὶ οὗτοι ἐπέσχον τῆς Φωκίδος, πάντα ἐσιναμώρεον· καὶ γὰρ τῶν Πανοπέων τὴν πόλιν ἐνέπρησαν καὶ Δαυλίων καὶ Αἰολιδέων. ἐπορεύοντο δὲ ταύτῃ ἀποσχισθέντες τῆς ἄλλης στρατιῆς τῶνδε εἵνεκεν, ὅκως συλήσαντες τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι βασιλέι Ξέρξῃ ἀποδέξειαν τὰ χρήματα. πάντα δ' ἠπίστατο τὰ ἐν τῷ ἱρῷ ὅσα λόγου ἦν ἄξια Ξέρξης, ὡς ἐγὼ πυνθάνομαι, ἄμεινον ἢ τὰ ἐν τοῖσι οἰκίοισι ἑλιπε, πολλῶν αἰεὶ λεγόντων, καὶ μάλιστα τὰ Κροίσου τοῦ Ἀλυάττεω ἀναθήματα. οἱ δὲ Δελφοὶ πυνθανόμενοι ταῦτα ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο, ἐν δείματι δὲ μεγάλῳ κατεστεῶτες ἐμαντεύοντο περὶ τῶν ἱρῶν χρημάτων, εἴτε σφέα κατὰ γῆς κατορύξωσι εἴτε ἐκκομίσωσι ἐς ἄλλην χώρην. ὁ δὲ θεὸς σφεας οὐκ ἔα κινέειν, φὰς αὐτὸς ἱκανὸς εἶναι τῶν ἑωυτοῦ προκατῆσθαι. Δελφοὶ δὲ ταῦτα ἀκούσαντες σφέων αὐτῶν πέρι ἐφρόντιζον. τέκνα μέν νυν καὶ γυναῖκας πέρην ἐς τὴν Ἀχαιίην διέπεμψαν, αὐτῶν δὲ οἱ μὲν πλεῖστοι ἀνέβησαν ἐς τοῦ Παρνησσοῦ τὰς κορυφὰς καὶ ἐς τὸ Κωρύ-

spaltet sich der Weg; der zur Linken führt in die Schlucht des Fl. Pleistos nach Kirrha hinab, der zur Rechten über die Abhänge des Parnassos nach Delphi. Alle diese Defileen waren leicht zu vertheidigen.

10. *πυνθάνομαι*, wohl von den Orakelbeamten selber.

12. *τὰ Κροίσου-ἀναθήματα*: s. I 50 f. 92.

36. 2 f. *ἐς πᾶσαν ἀρρωδίην*: zu IV 140 15. VII 118 3. — *ἐν δείματι-κατεστεῶτες*: dieselbe Wendung VII 138 7. Unbegreiflich ist es dafs die Bewohner ihr fast unnehmbares Thal ohne weiteres dem Feinde offen liefsen. Freilich rieth das Orakel von jedem Widerstande ab, aber auch nur aus Verzagtheit (zu VII 220 20).

6. *κινέειν*: zu I 183 18. — *προκατῆσθαι*: zu VII 172 14.

10. Auf die Höhe der steilen Felswände, an deren Fufs das Orakel lag, führte im Westen der Stadt ein zwiefscher in den Stein gearbeiteter Pfad in Zickzack hinauf, ein Saumpfad und ein etwas kürzerer Treppengang von über tausend künstlichen Stufen. Von jener Höhe zieht sich der Weg weniger steil zuerst in der zwischen den Phaedriaden (zu c. 39 10) aufsteigenden bewaldeten Schlucht weiter empor; zwischen überragenden Höhen kommt man dann durch ein ziemlich enges Thal bei den Sommerhütten der heutigen Delpher vorbei, in eine grofse ganz von Bergen umschlossene Hochebene. Links erhebt sich ein kegelförmiger steiler Berg, an dessen Südwand sich der Eingang zu der korykischen Höhle, etwa 17 F. weit und halb so tief, mit einem grofsartigen Fernblick bis auf die Gebirge des nördl. Peloponnes eröffnet. Sie war in alten und neuen Zeiten den Umwohnern eine schwer

κιον ἄντρον ἀνηνείκαντο, οἱ δὲ ἐς Ἄμφισσαν τὴν Λοκρίδα ὑπεξῆλθον. πάντες δὲ ὧν οἱ Δελφοὶ ἐξέλιπον τὴν πόλιν, πλὴν ἑξήκοντα ἀνδρῶν καὶ τοῦ προφήτεω. ἐπεὶ 37
δὲ ἀγχοῦ τε ἦσαν οἱ βάρβαροι ἐπιόντες καὶ ἀπώρεον τὸ ἱρόν, ἐν τούτῳ ὁ προφήτης, τῷ οὔνομα ἦν Ἀκήρατος, ὁρᾷ πρὸ τοῦ νηοῦ ὅπλα προκείμενα ἔσωθεν ἐκ τοῦ μεγάρου ἐξενηνειγμένα ἱρά, τῶν οὐκ ὅσιον ἦν ἅπτεσθαι 5
ἀνθρώπων οὐδενί. ὁ μὲν δὴ ἤιε Δελφῶν τοῖσι παρεοῦσι σημανέων τὸ τέρας· οἱ δὲ βάρβαροι ἐπειδὴ ἐγίνοντο ἐπειγόμενοι κατὰ τὸ ἱρὸν τῆς Προνηίης Ἀθηναίης, ἐπιγίνεταί σφι τέρεα ἔτι μέζονα τοῦ πρὶν γενομένου τέρεος. θῶυμα μὲν γὰρ καὶ τοῦτο κάρτα ἐστί, ὅπλα ἀρήια 10
αὐτόματα φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ· τὰ δὲ δὴ ἐπὶ τούτῳ δεύτερα ἐπιγενόμενα καὶ διὰ πάντων φασμάτων ἄξια θωυμάσαι μάλιστα. ἐπεὶ γὰρ δὴ ἦσαν ἐπιόντες οἱ βάρβαροι κατὰ τὸ ἱρὸν τῆς Προνηίης Ἀθηναίης, ἐν τούτῳ ἐκ μὲν τοῦ οὐρανοῦ κεραυνοὶ αὐτοῖσι ἐνέ- 15
πιπτον, ἀπὸ δὲ τοῦ Παρνησσοῦ ἀπορραγεῖσαι δύο κορυφαὶ ἐφέροντο πολλῷ πατάγῳ ἐς αὐτοὺς καὶ κατέλαβον συχνούς σφεων, ἐκ δὲ τοῦ ἱροῦ τῆς Προνηίης βοή τε καὶ ἀλαλαγμὸς ἐγίνετο. συμμιγέντων δὲ τούτων 38
πάντων φόβος τοῖσι βαρβάροισι ἐνεπεπτώκεε. μαθόντες δὲ οἱ Δελφοὶ φεύγοντάς σφεας, ἐπικαταβάντες ἀπέκτει-

zu entdeckende Zufluchtsstätte. Denn der Eingang liegt so hoch am Berge, dafs man von der Hochebene eine halbe Stunde braucht um hinaufzuklimmen. Im Innern findet man zuerst ein ungeheures von Stalaktiten gebildetes Gewölbe, das etwa 100 F. hoch und breit und doppelt so tief ist. Dann steigt man über eine 40 F. hohe Tropfsteinmauer in eine hintere höhere Kammer, von der sich verschiedene unerforschte Gänge in den Berg hineinziehen.

12. *δὲ ὧν*, *denique*, 'kurz', um nicht die Zufluchtsorte sämmtlich aufzuzählen. Vgl. zu II 167 9.

13. *τοῦ προφήτεω*: zu VII 111 8.

37. 2. *ἀπώρεον* 'aus der Ferne erblickten' (IX 69 12). Sie kamen nur bis an den Tempel der Athene Pronaia (14) beim Eingange in den östl. Theil der Stadt, während der Tempelbezirk jenseits einer Schlucht auf einer hohen Terrasse im nordwestl. Theile lag.

4. *μεγάρου*: zu I 47 10.

8. *τῆς Προνηίης*: zu I 92 7.

12. *διὰ πάντων*: zu I 25 6.

38. *συμμιγέντων*=*συμπεσόντων*, *συνελθόντων* (VI 77 15).

2. *μαθόντες*: zu VII 37 10.

ναν πλῆθός τι αὐτῶν. οἱ δὲ περιεόντες ἰθὺ Βοιωτῶν
39 ἔφευγον. ἔλεγον δὲ οἱ ἀπονοστήσαντες οὗτοι τῶν βαρβάρων, ὡς ἐγὼ πυνθάνομαι, ὡς πρὸς τούτοισι καὶ ἄλλα ὤρεον θεῖα· δύο γὰρ ὁπλίτας μέζονας ἢ κατ' ἀνθρώπων φύσιν [ἔχοντας] ἔπεσθαί σφι κτείνοντας καὶ
5 διώκοντας. τούτους δὲ τοὺς δύο Δελφοὶ λέγουσι ἐπιχωρίους ἥρωας εἶναι, Φύλακόν τε καὶ Αὐτόνοον τῶν τὰ τεμένεά ἐστι περὶ τὸ ἱρόν, Φυλάκου μὲν παρ' αὐτὴν τὴν ὁδὸν κατύπερθε τοῦ ἱροῦ τῆς Προνηίης, Αὐτονόου
10 δὲ πέλας τῆς Κασταλίης ὑπὸ τῇ Ὑαμπείῃ κορυφῇ. οἱ δὲ πεσόντες ἀπὸ τοῦ Παρνησσοῦ λίθοι ἔτι καὶ ἐς ἡμέας ἦσαν σόοι, ἐν τῷ τεμένεϊ τῆς Προνηίης Ἀθηναίης κείμενοι, ἐς τὸ ἐνέσκηψαν διὰ τῶν βαρβάρων φερόμενοι. τούτων μέν νυν τῶν ἀνδρῶν αὕτη ἀπὸ τοῦ ἱροῦ ἀπαλ-
15 λαγὴ γίνεται.

40 Ὁ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου Ἀθηναίων δεηθέντων ἐς Σαλαμῖνα κατίσχει τὰς

39. 6. Paus. I 4 4. X 23 2 erzählt dsfs beim Einfalle der Galler (279 v. Chr.) aufser Phylakos die beiden hyperboreischen Heroen Hyperochos und Laodikos (od. -dokos) und Achills Sohn Pyrrhos ähnliche Hilfe geleistet hätten.

8. *περί* in der Nähe'. — *τὸ ἱρόν*, sc. *τοῦ Ἀπόλλωνος*.

9. *τὴν ὁδόν*, die von Daulis durch die *σχιστή* heraufführt, die s. g. heilige Strafse. — *κατύπερθε*, wahrscheinlich rechts vom Wege. — Paus. X 8 6 *ἐσελθόντι δὲ ἐς τὴν πόλιν (τῶν Δελφῶν) εἰσὶν ἐφεξῆς ναοί· καὶ ὁ μὲν πρῶτος αὐτῶν ἐρείπια ἦν, ὁ ἐπὶ τούτῳ δὲ χειρὸς καὶ ἀγαλμάτων καὶ ἀνδριάντων· ὁ δὲ αὐτῶν τρίτος καὶ ὁ τέταρτος ὁ μὲν τῶν ἐν Ῥώμῃ βασιλευσάντων εἶχεν οὐ πολλῶν τινων εἰκόνας, ὁ τέταρτος δὲ Ἀθηνᾶς καλεῖται Προναίας.*

10. 'Ueber Delphi erheben sich steil und schroff zwei riesige Felswände, die *πέτραι Φαιδριάδες*, welche zu einander einen Winkel von etwa 70 Graden bilden, in dessen Spitze am Fufse der Felsen der kastalische Quell entspringt, der dann in einer schmalen Schlucht nach dem Bette des Pleistos hinunterplätschert. Die alten Namen dieser berühmten Felswände sind *Ὑάμπεια* (im Osten) und *Ναυπλία* (im Westen), die heutigen Phlambukos und Rhodini.' Rofs Königsr. I 65.

12. Die Felsmassen schlugen durch die auf der Strafse einherziehenden Feinde und blieben in dem links stehenden Heiligthume liegen. Man sieht sie dort noch jetzt.

14. *αὕτη-ἀπαλλαγή*: vgl. zu III 81 2.

Auswanderung der Athener. Die hellenische Flotte bei Salamis (c. 40—48).

νέας. τῶνδε δὲ εἵκενεν προσεδεήθησαν αὐτῶν σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται τὸ ποιητέον αὐτοῖσι ἔσται. ἐπὶ γὰρ τοῖσι κατήκουσι πρήγμασι βουλὴν ἔμελλον ποιήσεσθαι ὡς ἐψευσμένοι γνώμης· δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον, τῶν μὲν εὗρον οὐδὲν ἐόν, οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας, τὴν Πελοπόννησον περὶ πλείστου τε ποιευμένους περιεῖναι καὶ ταύτην ἔχοντας ἐν φυλακῇ, τὰ δὲ ἄλλα ἀπιέναι. ταῦτα πυνθανόμενοι οὕτω δὴ προσεδεήθησάν σφεων σχεῖν πρὸς τὴν Σαλαμῖνα. οἱ μὲν δὴ **41** ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν. μετὰ δὲ τὴν ἄπιξιν κήρυγμα ἐποιήσαντο, Ἀθηναίων τῇ τις δύναται σώζειν τέκνα τε καὶ τοὺς οἰκέτας. ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. ἔσπευσαν δὲ ταῦτα ὑπεκθέσθαι τῷ χρηστηρίῳ τε βουλόμενοι ὑπηρετέειν καὶ δὴ καὶ τοῦδε εἵνεκεν οὐκ ἥκιστα. λέγουσι Ἀθηναῖοι ὄφιν μέγαν φύλακον τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ. λέγουσί τε ταῦτα καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια

40. 3. *προσεδεήθησαν*: zu c. 140β 4.

6. *τό*: zu I 56 5. — *κατήκουσι*: zu I 97 9.

9. *ὑποκατημένους* = *ὑπομένοντας, διεπομένους.*

10. *οἱ δέ*: zu I 17 9.

13. *ἀπιέναι*, parallel zu *τειχέοντας*, wie V 15 6.

41. 3. *κήρυγμα ἐποιήσαντο*: zu V 92η 19.

4. *Ἀθηναίων*, eig. *Ἀθηναίους* (*σώζειν*), zum näheren *τις* construirt. Vgl. zu VII 144 2. — *οἰκέτας*: zu c. 4 9.

5. *ἐς Τροιζῆνα*: Plut. Them. 10 fügt zu *φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων. καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ δύο ὀβολοὺς ἑκάστῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς.*

6. *ταῦτα*: vgl. zu V 105 4.

7. *τῷ χρηστηρίῳ*: zu VII 140 6.

9 f. *οἰκουρὸς ὄφις* war die gewöhnliche Benennung dieser Schlange. Ar. Lys. 758 *ἀλλ' οὐ δύναμαι 'γωγ' οὐδὲ κοιμᾶσθ' ἐν πόλει, Ἐξ οὗ τὸν ὄφιν εἶδον τὸν οἰκουρόν ποτε* (im Traume). Hesych. *οἰκουρὸν ὄφιν, τὸν τῆς Πολιάδος φύλακα δράκοντα. καὶ οἱ μὲν ἕνα φασὶν οἱ δὲ δύο ἐν τῷ ἱερῷ τοῦ Ἐρεχθέως* (zu c. 55 3). — *λέγουσί τε ταῦτα*: sonst *ταῦτά τε (δὴ) λέγουσι*. Ebenso c. 81 1. Vgl. zu c. 22 6. — *ὡς ἐόντι* läfst den Zweifel

ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια μελιτόεσσά ἐστι. αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθε αἰεὶ χρόνῳ ἀναισιμουμένη τότε ἦν ἄψαυστος. σημηνάσης δὲ ταῦτα τῆς ἱρείης, μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν. ὡς δέ σφι πάντα ὑπεξεκέετο, ἔπλωον ἐς τὸ στρατόπεδον.

42 Ἐπεὶ δὲ οἱ ἀπ' Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον τὰς νέας, συνέρρεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος· ἐς γὰρ Πώγωνα τὸν Τροιζηνίων λιμένα προείρητο συλλέγεσθαι. συνελέχθησάν τε δὴ πολλῷ πλεῦνες νέες ἢ ἐπ' Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ πολίων πλεύνων. ναύαρχος μέν νυν ἐπῆν ὠυτὸς ὅσπερ ἐπ' Ἀρτεμισίῳ, Εὐρυβιάδης ὁ Εὐρυκλείδεω ἀνὴρ Σπαρτιήτης, οὐ μέντοι γένεός γε τοῦ βασιληίου ἐών· νέας δὲ πολλῷ πλείστας τε καὶ ἄριστα **43** πλωούσας παρείχοντο Ἀθηναῖοι. ἐστρατεύοντο δὲ οἵδε, ἐκ μὲν Πελοποννήσου Λακεδαιμόνιοι ἑκκαίδεκα νέας παρ-

des Autors am Vorhandensein des Thieres merken. Es wurde wohl niemals gezeigt, sondern nur in irgend einem unterirdischen Raume des Tempels hausend gedacht, und hewies den Gläubigen seine Anwesenheit durch das Verschwinden der ihm hingelegten Opferkuchen. — *ἐπιμήνια*, das an jedem Neumonde dargebrachte Opfer. Vgl. zu VI 57 7.

15. *τῆς θεοῦ*, der Athene Polias. Ihr war die Schlange heilig; zugleich eine symbolische Erinnerung an die schlangenleibigen altattischen Heroen Erechtheus (Erichthonios), den Zögling der Göttin, und Kekrops, den Gründer der Burg.

17. *στρατόπεδον*: zu V 36 22.

42. 2. *ὁ τῶν*: zu VI 46 10.

3. Der Hafen *Πώγων* erstreckt sich zwischen der Insel Kalauria und der Küste von Troezen als eine tiefe wohlgeschützte Meerbucht und zu Flottensammlungen vorzugsweise geeignet, durch die breite Einfahrt im Nordosten auch den gröfsten Schiffen zugänglich und bis zum Westende am flachen Gestade von Troezen fast eine deutsche Meile lang. (Curtius Pelop. II 444).

9f. Der häufige Ausdruck *εὖ* (*ἄμεινον, ἄριστα*) *πλώειν* ist, abgesehen von Schiff und Takelage, hauptsächlich von vollständiger Bemannung mit geübten Ruderern und Matrosen zu verstehen; denn eben hiervon hing die Schnelligkeit und Manövrirfähigkeit des Fahrzeugs ab. — Plut. Them. 10 *οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις.*

43. 2. *Λακεδαιμόνιοι*: zu e. 1 8.

εχόμενοι, Κορίνθιοι δὲ τὸ αὐτὸ πλήρωμα παρεχόμενοι τὸ καὶ ἐπ' Ἀρτεμισίῳ· Σικυώνιοι δὲ πεντεκαίδεκα παρείχοντο νέας, Ἐπιδαύριοι δὲ δέκα, Τροιζήνιοι δὲ πέντε, Ἑρμιονέες δὲ τρεῖς, ἐόντες οὗτοι πλὴν Ἑρμιονέων Δωρικόν τε καὶ Μακεδνὸν ἔθνος, ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου καὶ τῆς Δρυοπίδος ὕστατα ὁρμηθέντες. οἱ δὲ Ἑρμιονέες εἰσὶ Δρύοπες, ὑπ' Ἡρακλέος τε καὶ Μη-

3. *πλήρωμα*, hier und c. 45 2 nicht 'Bemannung' sondern 'Vollzahl'. Die Korinthier hatten in runder Zahl 40, die Megarer 20 Schiffe gestellt (c. 1). In den Kämpfen bei Artemision werden sie Verluste erlitten haben, mit deren Ersatz sie sich begnügten, während die anderen Staaten fast durchgängig mit inzwischen verstärkten Kontingenten erschienen.

6. *οὗτοι*: zu III 5 13.

7 f. Ethnographische Anmerkungen pflegt der Vf. auch sonst bei Aufzählung von Völkern einzuflechten. Vgl. I 171 ff. IV 102 ff. VII 6 ff. VIII 73. — *τε καί*, weil dem Vf., nach seiner I 56 dargelegten Kombination (*ἐκ δὲ τῆς Ἱστιαιήτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων οἰκεῖν Πίνδῳ Μακεδνὸν καλέομενον*), die Dorier in einem früheren Abschnitte ihrer Geschichte für identisch gelten mit den *Μακεδνοί* oder dem *ἔθνος Μακεδνόν* (vgl. zu V 4 9). Ueber diesen Namen ist nichts weiteres überliefert, als daſs *Μάκεδνος* unter den funfzig Söhnen des Pelasgos aufgezählt wird (Apollod. III 8 3). Ob seine Aehnlichkeit mit *Μακεδών* eine mehr als zufällige ist, also *Μακεδνοί* und *Μακεδόνες* dasselbe Volk bezeichnen, kann nicht entschieden werden; jedenfalls wollte H. dies nicht geradezu behaupten, weil er sonst die seltene Form durch die bekannte hätte erklären müssen. Er stützt sich aber wohl für seine Annahme, daſs die Dorier einst Makedner geheiſsen, auf irgend eine ältere Sage oder Dichterstelle; denn auf solchen beruht nachweislich seine ganze Hypothese über die dorische Urgeschichte. Die früheren Wohnsitze der Dorier, Phthiotis und Histiaeotis, sind hier der Kürze wegen nicht wieder erwähnt (daher *ὕστατα ὁρμηθέντες*). — *Ἐρινεός*, eine von den Drei- oder Vierstädten der alten Doris, am Fl. Pindos, der das ganze Ländchen durchströmt und in den Kephissos fällt. An demselben lag auch die Stadt *Πίνδος* (Strab. 427 *ὑπέρκειται δ' ἡ Πίνδος τοῦ Ἐρινεοῦ, παραρρεῖ δ' αὐτὴν ὁμώνυμος ποταμὸς ἐμβάλλων εἰς τὸν Κηφισσὸν οὐ πόλυ τῆς Λιλαίας ἄπωθεν· τινὲς δ' Ἀχύφαντα λέγουσι τὴν Πίνδον*). Die beiden Namen (*Ἐρινεοῦ τε καὶ Πίνδου*) weisen auf die benutzten Quellen; Tyrtaeos Fr. 2 *Ζεὺς Ἡρακλεΐδαις τήνδε δέδωκε πόλιν. Οἵσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα Εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.* Pind. P. I 65 *ἔσχον δ' (Ἡρακλειδᾶν ἔκγονοι) Ἀμύκλας ὄλβιοι, Πινδόθεν ὀρνύμενοι.* Ob nun hier die Stadt oder der Fluſs *Πίνδος* gemeint sei ist unsicher; sicher nicht das Gebirge (wohl auch nicht I 56 15). — Die *Δρυοπίς* bildete einen Theil der *Δωρίς* (c. 31).

9. Dryoper saſsen einst auf beiden Seiten des Oeta und südlich am Parnaſs hinauf, wurden aber zuerst von den Malieru vom Meere ab und dann, wahrscheinlich von den Doriern, auch aus der südlichen Landschaft verdrängt (Pherekyd. Fr. 23. Strab. 373. Paus. IV 34 9 ff. V 1 2). Ihre Reste fanden sich später in Hermione, Asine (zu c. 73 16), Eion in Ar-

λιέων ἐκ τῆς νῦν Δωρίδος καλεομένης χώρης ἐξαναστάν-
44 τες. οὗτοι μέν νυν Πελοποννησίων ἐστρατεύοντο, οἱ δὲ ἐκ τῆς ἔξω ἠπείρου, Ἀθηναῖοι μὲν πρὸς πάντας τοὺς ἄλλους παρεχόμενοι νέας ὀγδώκοντα καὶ ἑκατόν, μοῦνοι· ἐν Σαλαμῖνι γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθηναίοισι διὰ τοιόνδε τι πρῆγμα· ἀπαλλασσομένων τῶν Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου, ὡς ἐγίνοντο κατὰ Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν περαίην τῆς Βοιωτίης χώρης πρὸς ἐκκομιδὴν ἐτράποντο τῶν οἰκετέων. οὗτοι μέν νυν τούτους σώζοντες ἐλείφθησαν, Ἀθη-
10 ναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλεομένην ἦσαν Πελασγοί, οὐνομαζόμενοι Κραναοί, ἐπὶ

golis, Styra und Karystos auf Euboea, auf der kleinen Kykladе Kythnos (c. 46 17), in Ionien (I 146) u. s. — *Ἡρακλέος*, der bei den Maliern vorzugsweise verehrt ward (zu VII 176 17) und zugleich seinen Nachkommen das Anrecht auf den späteren Besitz verschaffte. Der Mythos bei Apollod. II 7 7 *διεξιὼν δ' Ἡρακλῆς τὴν Δρυόπων χώραν ἀπορῶν τροφῆς, ἀπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων λύσας εὐωχήσατο. ὡς δὲ ἦκεν εἰς Τραχῖνα πρὸς Κήυκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ Δρυόπας κατεπολέμησεν ... ἀπέκτεινε δὲ καὶ Λαογόραν μετὰ τῶν τέκνων βασιλέα Δρυόπων ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριστὴν ὄντα καὶ Λαπιθῶν σύμμαχον.*

44. Das allgemeine Subjekt *οἱ ἐκ τῆς ἔξω ἠπείρου* beginnt sofort mit *οἱ Ἀθηναῖοι* sich in die von ihm umfafsten Theile zu zerlegen und an dieselben seine grammatische Funktion abzutreten, so dafs es nur noch blofs wie eine vorausgeschickte allgemeine Apposition auftritt. Vgl. zu I 151 3. II 9 4. VI 111 13. VIII 83 3. 124 12. Doch wird, nach der langen an *Ἀθηναῖοι* sich anschliessenden Exkursion, c. 45 die angefangene Gliederung nicht entsprechend fortgesetzt. — *πρός*: zu III 94 9. — Thuk. I 74 ein Athener mit rhetorischer Uebertreibung: *τοιούτου μέντοι ξυμβάντος τούτου καὶ σαφῶς δηλωθέντος ὅτι ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο, τρία τὰ ὠφελιμώτατα ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖστον καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον καὶ προθυμίαν ἀοκνοτάτην, ναῦς μέν γε ἐς τὰς τετρακοσίας ὀλίγῳ ἐλάσσους τῶν δύο μοιρῶν κτέ.* — *μοῦνοι*: früher hatten die Plataeer zwanzig ihrer Schiffe bemannt (c. 1). Zwar stellten die Athener auch jetzt nicht mehr Schiffe als bei Artemision (c. 1 n. 14); aber sie hatten ihre grofsen Verluste (VII 182. VIII 16. 18) wieder ausgefüllt und den Abgang der Plataeer ersetzt.

9. *ἐλείφθησαν*: zu VII 153 7.

11f. *Κραναοί*, wahrscheinlich von *κρα-νάος* 'hochbewohnt, hochgelegen' (von der W. *καρ* 'Haupt, Spitze', mit Metathesis, und *ναίειν*), akt. 'hochwohnend'. Also die 'Höhen- od. Felsenbewohner' (opp. *Λαναοί* 'Bewohner der Ebene', = *Ἀργεῖοι*?). *Κραναὰ* (*πόλις*) aber war in Athen alterthümliche Bezeichnung der *ἀκρόπολις* ('Hochstadt'; Ar. Lys. 480. Ach. 75), und *αἱ Κρανααί* = *αἱ*

δὲ Κέκροπος βασιλέος ἐπεκλήθησαν Κεκροπίδαι, ἐκδεξαμένου δὲ Ἐρεχθέος τὴν ἀρχὴν Ἀθηναῖοι μετουνομάσθησαν, Ἴωνος δὲ τοῦ Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες. Μεγαρέες δὲ 45
τώυτὸ πλήρωμα παρείχοντο τὸ καὶ ἐπ' Ἀρτεμισίῳ, Ἀμπρακιῆται δὲ ἑπτὰ νέας ἔχοντες ἐπεβώθησαν, Λευκάδιοι δὲ τρεῖς, ἔθνος ἐόντες οὗτοι Δωρικὸν ἀπὸ Κορίνθου. νησιωτέων δὲ Αἰγινῆται τριήκοντα παρείχοντο. 46

Ἀθῆναι (Pind. O. VII 82 u. s. Ar. Av. 123). Die *Κραναοί* also waren die Bewahner des Burgfelsens als des ältesten Stadttheiles, der in der frühen Zeit schlechthin *ἡ πόλις* hiefs (Paus. I 26 6), die 'Hoch- ad. Altstädter', im Ggs. zu den Bewahoern der Unterstadt (*ἄστοι*, vgl. c. 51 6). Dafs dieselben pelasgischen Stammes gewesen ist H. schon daraus überzeugt, weil ihm alle vorhellenischen d. h. vordorischen Bewohner von Hellas als Pelasger gelten (I 56 9. 57 12. 146 8. VII 94 5. 95 6); für Athen konnte er sich auch auf das *Πελασγικὸν τεῖχος* der Burg berufen (V 65 11. VI 137 8). Eben darum aber schiebt er die *Κραναοί* den *Κεκροπίδαι* in der Zeitfolge voran, während die älteren attischen Archaeologen, die den Kekrops als ersten Autochthon und Gründer der Akropole (VII 141 16) an die Spitze der Laodesgeschichte stellten, den Kranaos, als Epanymos der *Κραναοί*, erst nach jenem regieren liefsen. — *ἐπεκλήθησαν*: zu dem ersten Namen erhielten sie noch einen zweiten.

13. *Ἐρεχθέος*: zu c. 55 3. — *Ἀθηναῖοι*: man könnte *Ἐρεχθεῖδαι* erwarten, wie die Athener häufig bei Dichtern hiefsen. Aber eben der Name *Ἀθηναῖοι* wird vermittelst des Erechtheus, des Pfleglings und in ältester Sage des Sohnes der Athene, erklärt.

14. *Ἴωνος*: zu V 66 10. — *στρατάρχεω*, ein absichtlich unbestimmter Ausdruck statt des erwarteten *βασιλέος*, weil die Sage von Ion und seiner Herrschaft in Attika mit der sonstigen altattischen Tradition so schwer zu vereinigen war, dafs alle Versuche der Logographen sie ineinander zu verweben an unüberwindlichen Schwierigkeiten scheiterten. Da nämlich die attische Ueberlieferung von Kekrops bis auf Theseus eine fortlaufende Königsreihe aufwies, die von einer ionischen Zuwanderung und ionischen Fürsten nichts wufste, so suchte man die Verbindung dadurch herzustellen, dafs Xuthos die Krëusa, König Erechtheus' Tochter, zur Gattin erhielt und mit ihr den Ion zeugte; Ion ward dann König der Aegialeer (zu VII 94 4), die fortan nach ihm Ionier hiefsen, und kam während eines Krieges mit den Eleusiniern unter Eumolpos dem Erechtheus (!) zu Hilfe und verschaffte den Athenern den Sieg (Philoch. Fr. 33), worauf er in Attika, angeblich als Leiter des Staates, blieb; ohne dafs man wagte ihn als König hinter Erechtheus einzuschieben (Herakl. Pont. Pal. I 1. Strab. 383. Paus. VII 1 5). Aber nach seinen Söhnen liefs man die vier attischen Phylen benannt werden (zu V 66 10).

45. 4. Leukas, Ambrakia (und Anaktorion) waren von Söhnen des Kypselos angelegt, um 650—600.

46. *νησιωτέων*, ohne Artikel; zu VII 95 1.

ἦσαν μέν σφι καὶ ἄλλαι πεπληρωμέναι νέες· ἀλλὰ τῇσι μὲν τὴν ἑωυτῶν ἐφύλασσον, τριήκοντα δὲ τῇσι ἄριστα πλωούσῃσι ἐν Σαλαμῖνι ἐναυμάχησαν. Αἰγινῆται δέ εἰσι Δωριέες ἀπ' Ἐπιδαύρου· τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν Οἰνώνη. μετὰ δὲ Αἰγινήτας Χαλκιδέες τὰς ἐπ' Ἀρτεμισίῳ εἴκοσι παρεχόμενοι καὶ Ἐρετριέες τὰς ἑπτά· οὗτοι δὲ Ἴωνές εἰσι. μετὰ δὲ Κήιοι τὰς αὐτὰς παρεχόμενοι, ἔθνος ἐὸν Ἰωνικὸν ἀπ' Ἀθηνέων. Νάξιοι δὲ παρείχοντο τέσσερας, ἀποπεμφθέντες μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιητέων κατά περ ὦλλοι νησιῶται, ἀλογήσαντες δὲ τῶν ἐντολέων ἀπίκατο ἐς τοὺς Ἕλληνας Δημοκρίτου σπεύσαντος, ἀνδρὸς τῶν ἀστῶν δοκίμου καὶ τότε τριηραρχέοντος· Νάξιοι δέ εἰσι Ἴωνες ἀπ' Ἀθηνέων γεγονότες. Στυρέες δὲ τὰς αὐτὰς παρείχοντο νέας τὰς καὶ ἐπ' Ἀρτεμισίῳ, Κύθνιοι δὲ μίαν καὶ πεντηκόντερον, ἐόντες συναμφότεροι οὗτοι Δρύοπες. καὶ Σερίφιοί τε καὶ Σίφνιοι καὶ Μήλιοι ἐστρατεύοντο· οὗτοι γὰρ οὐκ ἔδοσαν μοῦνοι νησιωτέων τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ. οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι Θεσπρωτῶν καὶ Ἀχέροντος ποταμοῦ ἐστρατεύοντο· Θεσπρωτοὶ γάρ εἰσι οἳ ὁμουρέοντες Ἀμπρακιήτῃσι καὶ Λευκαδίοισι, οἳ ἐξ ἐσχατέων χωρέων ἐστρατεύοντο. τῶν δὲ ἐκτὸς τούτων οἰκημένων Κροτωνιῆται μοῦνοι ἦσαν οἳ ἐβώθησαν τῇ Ἑλλάδι κινδυνευούσῃ νηὶ μιῇ, τῆς ἦρχε ἀνὴρ

2. Hinter *νέες* mufs *δυώδεκα* nusgelassen sein. Zählt man nämli die einzelnen Kontingente zusammen, so findet sich als Summe 366, nicht 378 Schiffe, wie H. herausrechnet (c. 48 6, vgl. c. 82 9); es fehlen also zwölf, die sich nur hier passend ersetzen lassen, zumal Paus. II 29 5 die Schiffszahl der Aegineten unmittelbar hinter die der Athener, also über die vierzig der Korinthier (c. 43 3) ordnet.

5. *ἀπ' Ἐπιδαύρου*: vgl. V 83.

9. *ἀπ' Ἀθηνέων*: vgl. zu VII 95 4.

13. Auch seine Thaten in der Schlacht rühmt Simonides Fr. 139 *Δημόκριτος τρίτος ἦρχε μάχης, τε παρὰ Σαλαμῖνι Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει· πέντε δὲ νῆας ἕλεν δηίων, ἕκτην δ' ὑπὸ χεῖρα Ῥύσατο βαρβαρικὴν Δωρίδ' ἁλισκομένην.*

17. Von den Styrern sagt Paus. IV 34 11 *ἀλλ' οἱ μὲν Στυρέες καλεῖσθαι Δρύοπες ὑπερφρονοῦσι*, und Thuk. VII 57 rechnet sie zu den Ionern.

19. Keos Kythnos Seriphos Siphnos und Melos bilden die westlichste Reihe der Kykladen, nahe dem hellen. Festlande.

47. 7. *Φάυλλος*, ein *ὑποκοριστικόν* von *Φάων*, wie *Δάμυλλος*

τρὶς πυθιονίκης Φάυλλος· Κροτωνιῆται δὲ γένος εἰσὶ Ἀχαιοί. οἱ μέν νυν ἄλλοι τριήρεας παρεχόμενοι ἐστρα- 48
τεύοντο, Μήλιοι δὲ καὶ Σίφνιοι καὶ Σερίφιοι πεντηκοντέρους. Μήλιοι μὲν γένος ἐόντες ἀπὸ Λακεδαίμονος δύο παρείχοντο, Σίφνιοι δὲ καὶ Σερίφιοι Ἴωνες ἐόντες ἀπ' Ἀθηνέων μίαν ἑκάτεροι. ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, ὀκτὼ καὶ ἑβδομήκοντα καὶ τριηκόσιαι.

Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλθον οἱ στρατηγοὶ ἀπὸ 49
τῶν εἰρημενέων πολίων, ἐβουλεύοντο, προθέντος Εὐρυβιάδεω γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην ποιέεσθαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί· ἡ γὰρ Ἀττικὴ ἀπεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προετίθεε. αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον πρὸς τὸν Ἰσθμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου, ἐπιλέγοντες τὸν λόγον τόνδε, ὡς ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν

von *Λάμων*, *Δράκυλλος* von *Δράκων*. Pnus. X 9 2 *Φαύλῳ δὲ Κροτωνιάτῃ* (*Ὀλυμπίασι μὲν οὐκ ἔστιν αὐτῷ νίκη, τὰς δὲ Πυθοῖ πεντάθλου δύο ἀνείλετο καὶ στα-δίου τὴν τρίτην· ἐναυμάχησε δὲ καὶ ἐναντία τοῦ Μήδου ναῦν τε παρασκευασάμενος οἰκείαν καὶ Κροτωνιατῶν ὁπόσοι ἐπεδήμουν τῇ Ἑλλάδι ἀνεβίβασε*) *τούτου ἐ-στιὴν ἀνδριὰς ἐν Δελφοῖς*. Als geschickter Läufer war er sprüchwörtlich (Ar. Ach.215. Vesp. 1206).

8. *Ἀχαιοί*: ihr *οἰκιστής* war Myskellos aus der achaeischen Stadt Rhypes (Strab. 387).

48. 6. Ueber die Zahl zu c. 46 2. Anders Aesch. Pers. 334 *καὶ γὰρ Ἕλλησιν μὲν ἦν Ὁ πᾶς ἀριθμὸς ἑς τριακάδας δέκα Ναῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος.*

Hellenischer Kriegsrath. Einmarsch der Perser in Attika; Erstürmung der Burg.

Herodot V.

Der heilige Oelbaum (c. 49 — 55).

49. 2. *προθέντος*, vollständiger *λόγον πρ.*, der gewöhnliche Ausdruck von dem die Berathung und die Debatte eröffnenden Vorsitzenden; vgl. I 206 16. III 38 4. VIII 59 2. IX 27 5, und *ἀγῶνα προτιθέναι*. Eur. Med. 546 *ἄμιλλαν γὰρ σὺ προύθηκας λόγων.*

4. *τῶν* = *τουτέων τῶν* (= *ων*), von *ὅκου* abhängig.

7. *συνεξέπιπτον*: zu I 206 17. Das Imperfekt, weil die endgültige Entscheidung doch anders ausfiel (c. 63). Aehnlich c. 123 9 *συνεξ-έπιπτον-κρίνοντες*, weil die Abstimmung unentschieden blieb.

8. Ueber *ἐπιλέγοντες* nach *λεγόντων* zu III 16 13. Die Worte *αἱ γνῶμαι - συνεξέπιπτον* sind nämlich an Inhalt = *οἱ δὲ λέγοντες πλεῖστοι ἔγνωσαν*, und nach diesem Inhalt ist die Apposition formirt.

10 Σαλαμῖνι μὲν ἐόντες πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐδεμία ἐπιφανήσεται, πρὸς δὲ τῷ Ἰσθμῷ ἐς
50 τοὺς ἑωυτῶν ἐξοίσονται. ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομένων, ἐληλύθεε ἀνὴρ Ἀθηναῖος ἀγγέλλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος
5 στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν αὐτῶν ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν Πλαταιέων ὡσαύτως, ἦκέ τε ἐς τὰς Ἀθήνας καὶ πάντα ἐκεῖνα ἐδηίου. ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν
51 πυθόμενος Θηβαίων ὅτι οὐκ ἐμήδιζον. ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἵνα αὐτοῦ διατρίψαντες μῆνα ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μησὶ ἐγέ-
5 νοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος Ἀθηναίοισι. καὶ αἱρέουσι ἐρῆμον τὸ ἄστυ, καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ καὶ πένητας ἀνθρώπους, οἳ φραξάμενοι τὴν ἀκρόπολιν θύρῃσί τε καὶ ξύλοισι ἠμύνοντο τοὺς ἐπιόντας,

10. *πολιορκήσονται*: za V 34 4.

12. *ἐξοίσονται, deferentur*, sei es schwimmend oder nachdem sie die Schiffe nuf Strand gesetzt. Vgl. I 23 5. VIII 12 4. 76 14.

50. 2. *ἐπιλέγεσθαι* 'erwägen'.

6. *ἐς*: za VI 100 9.

8. *ἐκεῖνα*: vgl. e. 29 4.

51. S. zu VII 37 1 u. 6.

5. *ἄρχοντος Ἀθηναίοισι*, wie Thuk. I 93 *ἀρχῆς ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξεν*, II 2 *Πυθοδώρου ἔτι τέσσαρας μῆνας ἄρχοντος Ἀθηναίοις*, VI 54 *ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαυσίαν Ἀθηναίοις ἀρχὴν καὶ Πεισίστρατος*. Sonst *ἐν Ἀθήναις* od. *Ἀθήνησιν*.

6. *τὸ ἄστυ*, opp. *τὴν ἀκρόπολιν* (I 14 22).

7. Mit *τὸ ἱρόν* bezeichnet H. vorzugsweise nur das alte Doppelheiligthum der Athene Polias und des Poseidon oder das s. g. Erechtheion auf der Nordseite der Burg (s. V 72 16ff. 90 15. VIII 53 11 u. 15. 54 8. 55 9). Das gegenüber auf der Südseite liegende gröfsere s. g. Hekatompedon oder Parthenon war nicht eigentlich eine Kultusstätte. — *ταμίας τοῦ ἱροῦ*, die Aufseher über das heilige Inventar, namentlich die Weihgeschenke und kostbaren Geräthe im Tempel, deren Behütung ihnen heilige Pflicht war, und die man als *ἀκίνητα* nicht anderswohin in Sicherheit bringen konnte. Vielleicht sind auch Mitglieder des am Heiligthume fungirenden Priestergeschlechtes der Eteobutaden mitverstanden (vgl. Pind. O. VI 5 *ταμίας Διός* vom Priester).

8. *φραξάμενοι*, an dem westl. Aufgange (e. 53 5). Die anderen Seiten waren durch ihren steilen Abfall und die alten pelasgischen Mauern geschützt.

ἅμα μὲν ὑπ' ἀσθενείης βίου οὐκ ἐκχωρήσαντες ἐς Σα- 10
λαμῖνα, πρὸς δὲ καὶ αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μα-
τήιον τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνά-
λωτον ἔσεσθαι· αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον
κατὰ τὸ μαντήιον καὶ οὐ τὰς νέας. οἱ δὲ Πέρσαι 52
ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν
Ἀθηναῖοι καλέουσι Ἀρήιον πάγον, ἐπολιόρκεον τρόπον
τοιόνδε· ὅκως στυπεῖον περὶ τοὺς ὀιστοὺς περιθέντες
ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. ἐνθαῦτα Ἀθηναίων οἱ 5
πολιορκεόμενοι ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον
κακοῦ ἀπιγμένοι καὶ τοῦ φράγματος προδεδωκότος· οὐ-
δὲ λόγους τῶν Πεισιστρατιδέων προσφερόντων περὶ ὁμο-
λογίης ἐνεδέκοντο, ἀμυνόμενοι δὲ ἄλλα τε ἀντεμηχα-
νέοντο καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς 10
πύλας ὀλοιτρόχους ἀπίεσαν, ὥστε Ξέρξεα ἐπὶ χρόνον
συχνὸν ἀπορίῃσι ἐνέχεσθαι οὐ δυνάμενόν σφεας ἑλεῖν.
χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος τοῖσι 53
βαρβάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν
Ἀττικὴν τὴν ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσῃσι.
ἔμπροσθε ὦν τῆς ἀκροπόλιος, ὄπισθε δὲ τῶν πυ-
λέων καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε οὔτ' 5

10. *ὑπ' ἀσθενείης βίου*: zu II 47 21.

11. *αὐτοί* 'allein' (VI 134 2). — *ἐξευρηκέναι*: zu VII 142 4.

13. Ueber das Asyndeton zu VI 21 7. Doch ist vielleicht *γάρ* für *δή* zu lesen. VII 142 war das Orakel anders genommen worden.

52. 2. *καταντίον*, der Westseite, wo der Aufgang war.

4f. *ὅκως-ἅψειαν*: zu I 17 10.

7. *προδεδωκότος* eig. 'sie im Stich liefs', 'nicht vorhielt'. Vgl. VII 187 7. Ggs. *ἀντέχειν*.

53. *τῶν ἀπόρων*, variirt für *ἀποριέων*.

2. *πᾶσαν*: der Spruch deutete zunächst nur auf die nördliche Hälfte (VII 141 6f.).

3. *τὴν ἐν τῇ ἠπείρῳ*, mit Ausschlufs von Salamis, und überhaupt der auf die Schiffe und zu den Nachbarn geflüchteten attischen Bevölkerung.

4. *ἔμπροσθε*, von der Nordseite (wie Z. 7 zeigt), die also hier als Frontseite genommen wird, nicht die West- oder Ostseite, wie man meinen möchte. 'Diese Seite des Hügels wird in der That jetzt noch sehr gewöhnlich von Eingehornen und Fremden, die von dieser ganzen Frage nichts wissen, die Vorderseite der Akropolis genannt; auch sind die Felsen hier nicht weniger steil als an der Ostseite, obgleich sie an einer Stelle, wo vermuthlich das Agraulion lag, nicht so schwer zu ersteigen sind'. Leake Athen 265. — *ὄπισθε*, im Rücken.

ἂν ἤλπισε μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίτοι περ ἀποκρήμνου ἐόντος τοῦ χώρου. ὡς δὲ εἶδον ἀὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐρρίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν.

54 Σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον ἱππέα Ἀρταβάνῳ ἀγγελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν, εἴτε δὴ ὧν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν. οἱ δὲ φυγάδες **55** τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα. τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω. ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηός, ἐν

6. *κατὰ ταῦτα*: vgl. zu VII 199 4.

7f. *κατά*: zu c. 7 4. — Paus. I 18 2 *ὑπὲρ δὲ τῶν Λιοσκούρων τὸ ἱερὸν Ἀγλαύρου τέμενός ἐστιν. Ἀγλαύρῳ δὲ καὶ ταῖς ἀδελφαῖς Ἔρσῃ καὶ Πανδρόσῳ δοῦναί φασιν Ἀθηνᾶν Ἐριχθόνιον καταθεῖσαν ἐς κιβωτόν, ἀπειποῦσαν ἐς τὴν παρακαταθήκην μὴ πολυπραγμονεῖν. Πάνδροσον μὲν δὴ λέγουσι πείθεσθαι, τὰς δὲ δύο, ἀνοῖξαι γὰρ σφᾶς τὴν κιβωτόν, μαίνεσθαί τε ὡς εἶδον τὸν Ἐριχθόνιον, καὶ κατὰ τῆς ἀκροπόλεως ἔνθα ἦν μάλιστα ἀπότομον αὐτὰς ὦσαι. κατὰ τοῦτο ἐπαναβάντες Μῆδοι κτλ.*

54. 2. *Ἀρταβάνῳ*, dem Reichsverweser (VII 52 13).

8. *ἐνθύμιόν οἱ ἐγένετο* 'ging ihm zu Herzen, fiel ihm aufs Gewissen'. Vgl. II 175 24.

55. 2. *ἔστι*: der Neubau war schon unter Perikles begonnen und wenigstens in den Haupttheilen beendet worden.

3. *Ἐρεχθεύς*, im Wesen und wohl auch in der Namensform nicht verschieden von *Ἐριχθόνιος* (von *ἐρείκειν* u. *χθών*), erscheint in der attischen Sage bald als Sohn der Athene und des Hephaestos, aber im Schofse der Erde gezeitigt (s. zu c. 53 8 u. den *ἱερὸς λόγος* bei Apollod. III 14 6); daher *γηγενής* (Il. *β* 547 *Ἀθήνας - Λῆμον Ἐρεχθῆος μεγαλήτορος, ὃν ποτ' Ἀθήνη Θρέψε Διὸς θυγάτηρ τέκε δὲ ζεί-*

τῷ ἐλαίῃ τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρ' Ἀθηναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια θέσθαι. ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὄρεον βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. οὗτοι μέν νυν ταῦτα ἔφρασαν.

Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὡς σφι ἐξηγγέλθη ὡς ἔσχε τὰ περὶ τὴν Ἀθηνέων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο ὥστε ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ' ἔς τε τὰς νέας ἐσέπιπτον καὶ ἱστία ἀείροντο ὡς ἀποθευσόμενοι·

δωρος ἄρουρα, Κἀδ' δ' ἐν Ἀθήνης εἶσεν ἑῷ ἐνὶ πίονι νηῷ· ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται Κοῦροι Ἀθηναίων), alter Landeskönig (c. 44 13) und Gründer des Athene-kultes; bald auch als Nebenform des Poseidon, den die Athener unter dem Namen *Ποσειδῶν Ἐρεχθεύς* ('Erdspalter') verehrten. Eine Vermischung, zu welcher die von dem *συνοικισμός* der attischen Landestheile herrührende lokale Vereinigung an sich verschiedener Götterdienste im s. g. Erechtheion den Anlafs gegeben haben wird. — Der zum Theil noch erhaltene Tempel enthielt drei Cellen (*μέγαρα*), von denen die östlichste, das eigentliche *Ἐρεχθεῖον*, die Altäre des Hephaestos Poseidon Erechtheus und Butes (des Bruders des Er.), das mittlere das alte aus Olivenholz geschnitzte Kultnsbild der Athene, das letzte, das *Πανδρόσειον*, den heiligen Oelbaum mit dem 'Meere' (d. i. einem angeblichen Brunnen salzigen Wassers) enthielt.

4ff. Apollod. III 14 1 *ἐπὶ τούτου* (Kekrops) *ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. ἦκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι.. μετὰ δὲ τοῦτον ἦκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα ἐφύτευσεν ἐλαίαν ἣ νῦν ἐν τῷ Πανδροσίῳ δείκνυται.* Paus. I 26 5 *ὕδωρ ἐστὶν ἔνδον θαλάσσιον ἐν φρέατι· καὶ τριαίνης ἐστὶν ἐν τῇ πέτρᾳ σχῆμα.* Die westl. Giebelgruppe des Parthenon stellte den Streit der beiden Götter und zwar den Moment des Sieges der Göttin dar. — *λόγος* (*ἐστί*) = *λέγεται*. Dabei *παρά* wie VII 103 11. — *μαρτύρια*, ihrer Macht und ihres Anrechtes auf den Vorrang.

7. *κατέλαβε*: zu III 65 4.

Die hellenische Flotte will nach dem Isthmos. Rath des Mnesiphilos; Themistokles bei Eurybiades und im Kriegsrath; Beschluſs zu bleiben. Die Aeakiden (c. 56—64).

56. *ἔσχε*: der Aorist wie VI 31 1. 119 23.

4. *τὸ προκείμενον πρῆγμα*, worüber sie eben zu Rathe sufsen; nämlich die Wahl des Schlachtplatzes (c. 49).

τοῖσί τε ὑπολειπομένοισι αὐτῶν ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. νύξ τε ἐγένετο καὶ οἳ διαλυθέντες
57 ἐκ τοῦ συνεδρίου ἐσέβαινον ἐς τὰς νέας. ἐνθαῦτα δὴ Θεμιστοκλέα ἀπικόμενον ἐπὶ τὴν νέα εἵρετο Μνησίφιλος ἀνὴρ Ἀθηναῖος ὅ τι σφι εἴη βεβουλευμένον. πυθόμενος δὲ πρὸς αὐτοῦ ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νέας
5 πρὸς τὸν Ἰσθμὸν καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε „οὗτοι ἄρα ἢν ἀπαείρωσι τὰς νέας ἀπὸ Σαλαμῖνος, οὐδὲ περὶ οὐδεμιῆς ἔτι πατρίδος ναυμαχήσεις· κατὰ γὰρ πόλις ἕκαστοι τρέψονται, καὶ οὔτε σφέας Εὐρυβιάδης κατέχειν δυνήσεται οὔτε τις ἀνθρώπων ἄλ-
10 λος ὥστε μὴ οὐ διασκεδασθῆναι τὴν στρατιήν, ἀπολέεταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι. ἀλλ' εἴ τις ἔστι μηχανή, ἴθι καὶ πειρέο διαχέαι τὰ βεβουλευμένα, ἤν κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα μεταβουλεύσασθαι ὥστε αὐτοῦ
58 μενέειν." κάρτα τε δὴ τῷ Θεμιστοκλέι ἤρεσε ἡ ὑποθήκη, καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος ἦιε ἐπὶ τὴν νέα τὴν Εὐρυβιάδεω. ἀπικόμενος δὲ ἔφη ἐθέλειν οἱ κοινόν τι πρῆγμα συμμῖξαι· ὁ δ' αὐτὸν ἐς τὴν νέα ἐκέλευε
5 ἐσβάντα λέγειν, εἴ τι ἐθέλοι. ἐνθαῦτα ὁ Θεμιστοκλέης παριζόμενός οἱ καταλέγει ἐκεῖνά τε πάντα τὰ ἤκουσε Μνησιφίλου, ἑωυτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προστιθείς, ἐς ὃ ἀνέγνωσε χρηίζων ἔκ τε τῆς νεὸς ἐκβῆναι
59 συλλέξαι τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον. ὡς δὲ ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδεα προθεῖναι

5. erinnert, wohl nicht ohne Absicht, an den eiligen Aufbruch der Hellenen Il. β 149 ff.

7. τε: zu VI 41 7.

57. 2. Mnesiphilos war, wie Themistokles, aus dem Demos Phrearroi. Plut. Them. 2 zeichnet ihn als einen Politiker der solonischen Richtung, klug, umsichtig und gewandt. Den viel jüngeren Themistokles soll man darum als seinen Schüler an (Plut. das. u. mor. 795).

10. στρατιήν: zu VII 44 9.

11. ἀβουλίῃσι: zu III 52 8.

12. διαχέαι 'auflösen, rückgängig machen', *dirimere*.

58. 4. συμμῖξαι, *communicare*. Theogn. 64 ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι, χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν Σπουδαῖον.

7. ἑωυτοῦ ποιεύμενος: s. zu c. 4 11. — προστιθείς, blofs auf τἄλλα πολλά bezüglich. Od. ϑ 182 πολλὰ γὰρ ἔτλην Ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων. Vgl. c. 73 13.

τὸν λόγον τῶν εἵνεκεν συνήγαγε τοὺς στρατηγούς, πολλὸς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι οἷα κάρτα δεόμενος. λέγοντος δὲ αὐτοῦ ὁ Κορίνθιος στρατηγὸς Ἀδείμαντος ὁ Ὠκύτου εἶπε „ὦ Θεμιστόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανιστάμενοι ῥαπίζονται.“ ὁ δὲ ἀπολυόμενος ἔφη „οἱ δέ γε ἐγκαταλειπόμενοι οὐ στεφανεῦνται.“ τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο, πρὸς δὲ τὸν Εὐρυβιάδεα ἔλεγε ἐκείνων μὲν οὐκέτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς ἐπεὰν ἀπαείρωσι ἀπὸ Σαλαμῖνος διαδρήσονται· παρεόντων γὰρ τῶν συμμάχων οὐκ ἔφερέ οἱ κόσμιον οὐδένα κατηγορέειν· ὁ δὲ ἄλλου λόγου εἴχετο, λέγων τάδε. „ἐν σοὶ νῦν ἔστι σῶσαι τὴν Ἑλλάδα, ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ πειθόμενος τούτων τοῖσι λέγουσι ἀναζεύξῃς πρὸς τὸν Ἰσθμὸν τὰς νέας. ἀντίθες γὰρ ἑκάτερον ἀκούσας. πρὸς μὲν τῷ Ἰσθμῷ συμβάλλων ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυμαχήσεις, ἐς τὸ ἥκιστα ἡμῖν σύμφορόν ἐστι νέας

60 α)

59. 3 f. *τὸν λόγον τῶν εἵνεκεν*: zu III 48 10. — *πολλὸς ἦν ἐν τοῖσι λόγοισι* = *ἔλεγε πολλά* (III 46 3).

5. Etwas anders Plut. Them. 11 *τοῦ γὰρ Εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος· „ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι,“ „ναί“ εἶπεν ὁ Θεμιστοκλῆς, „ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν.“ ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος ὁ Θεμιστοκλῆς ἔφη. „πάταξον μέν“ ἄκουσον δέ“. θαυμάσαντος δὲ τὴν πρᾳότητα τοῦ Εὐρυβιάδου καὶ λέγειν κελεύσαντος, ὁ μὲν Θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον.*

7 f. *προεξανιστάμενοι*, zum Wettkampf ins Stadion, bevor sie von dem Herolde aufgerufen sind. Them. hätte warten sollen bis der Vorsitzende die Berathung eröffnet und ihm das Wort ertheilt hätte. — *ῥαπίζονται*, von den s. g. *ῥαβδοφόροι* od. *μαστιγοφόροι*, die zur Erhaltung der Ordnung bestellt waren. — *ἀπολύεσθαι* ‘sich rechtfertigen’, *se purgare*. Er wollte den Vorwurf nicht ‘auf sich sitzen lassen’. — *ἐγκαταλειπόμενοι*, *remanentes*, in der Masse der Zuschauer.

60. *τότε μέν*, Ggs. c. 61 6.

5 f. *ἔφερέ οἱ κόσμιον οὐδένα* ‘stand es ihm nicht wohl an’. Aehnlich c. 142 6. — *λόγου εἴχετο*: vgl. VII 5 7.

60α. *ἐν σοί* ‘in deiner Hand’.

3. *λέγουσι*, sc. *ἀναζεῦξαι πρὸς τὸν Ἰσθμὸν τὰς νέας*. — *ἀναζευγνύναι* sonst intr. ‘anfbrechen’; trans. IX 41 8. 58 18 (*τὸν στρατόν* u. *τὸ στρατόπεδον*) und hier, wo der eig. nur für Landheere nnd deren Trofs gehräuchliche Ausdruck auf die Flotte übertragen ist, ähnlich wie öfter die Wörter *στρατός*, *στρατόπεδον* u. dgl.

6. Das auf *ἐς τό* bezügliche Verhum (*ἀνάγειν*, c. 57 4) hat der Abschreiber wahrscheinlich vor *νέας* ausgelassen.

ἔχουσι βαρυτέρας καὶ ἀριθμὸν ἐλάσσονας· τοῦτο δὲ ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ Αἴγιναν, ἣν περ καὶ τὰ ἄλλα εὐτυχήσωμεν. ἅμα γὰρ τῷ ναυτικῷ αὐτῶν ἕψεται καὶ ὁ πεζὸς στρατός, καὶ οὕτω σφέας αὐτὸς ἄξεις ἐπὶ τὴν Πελοπόννησον, κινδυνεύσεις τε ἁπάσῃ β) τῇ Ἑλλάδι. ἢν δὲ τὰ ἐγὼ λέγω ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηστὰ εὑρήσεις. πρῶτα μὲν ἐν στεινῷ συμβάλλοντες νηυσὶ ὀλίγῃσι πρὸς πολλάς, ἢν τὰ οἰκότα ἐκ τοῦ πολέμου ἐκβαίνῃ, πολλὸν κρατήσομεν· τὸ γὰρ ἐν στεινῷ ναυμαχέειν πρὸς ἡμέων ἐστί, ἐν εὐρυχωρίῃ δὲ πρὸς ἐκείνων. αὖτις δὲ Σαλαμὶς περιγίνεται, ἐς τὴν ἡμῖν ὑπεκκέεται τέκνα τε καὶ γυναῖκες. καὶ μὲν καὶ τόδε ἐν αὐτοῖσι ἔνεστι, τοῦ καὶ περιέχεσθε μάλιστα· ὁμοίως αὐτοῦ τε μένων προναυμαχήσεις Πελοποννήσου καὶ πρὸς τῷ Ἰσθμῷ, οὐδέ σφεας, εἴ περ εὖ φρονέεις, ἄξεις ἐπὶ

7. *βαρυτέρας* könnte nur die Banart betreffen, wngegen Plut. Them. 14 (*πνεῦμα λαμπρὸν*) *τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς ταῖς μὲν πρύμναις ἀνεστώσας καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε*, nod die stärkere Besatzung der feindlichen Schiffe (VII 184) zeugen. Richtiger *βραδυτέρας*, mit Rücksicht auf die Zahl und Güte der Rudermannschaft, die bei den dürftigen Mitteln der meisten hellen. Staaten und der übereilten Rüstung wnbl viel zu wünscben übrig liefs. — *τοῦτο δέ*: zu V 45 5.

60β. 2. *ἐν αὐτοῖσι*: zu VII 8γ 3. Ebensn unten 8.

4. *πολλόν*: zu V 1 18.

5. Auf nffenem Meere knnnte die weit stärkere Flotte der Feinde sich hequem entwickeln und die hellenische durch Umzingelnog (*περικύκλωσις*, vgl. e. 16 4) erdrücken; in der engen Meeresatrafse dagegen konnte sie nur in kleinen Abtheilungen vorgeben und durfte ihren überlegenen Ruderkräften in dem klippenreichen Fahrwasser nur mit äufserster Vorsicbt freies Spiel gehen.

6. *περιγίνεται*, fällt nicht in die Gewalt des Feindes. Aeholich c. 60γ 5 *περιεοῦσι*. — *ἐς τήν*, weil *ὑπεκκέεται* = *ὑπεκτέθειται*. Vgl. zu VI 100 9.

7. *μέν* = *μήν*; zu II 29 2.

8. *τοῦ-μάλιστα* 'woran euch ja eben so viel liegt'.

9f. Parallel stehen *αὐτοῦ τε μένων* und *καὶ πρὸς τῷ Ἰσθμῷ*: 'bleibst du (wie ich rathe) hier und lieferst hier eine Seeschlncht, so wirst du ebensn den Pelnponnes vertheidigen, als wenn du sie am Isthmos hestehst'. — *οὐδέ*, sc. *αὐτοῦ μένων*. — *σφεας*, die Perser. — *εἴ περ εὖ φρονέεις* würde für den Gedanken hesser fehleu; deon *ἄξεις* enthält hier nicht eine Anfforderung oder Erwartung, sondern eine Schlnfsfolge: 'und wirst sie nicht (wie anderen Falles, e. 60α 10) in den Peloponnes hineinzieben'.

τὴν Πελοπόννησον. ἢν δέ γε καὶ τὰ ἐγὼ ἐλπίζω γένη- γ)
ται καὶ νικήσωμεν τῇσι νηυσί, οὔτε ὑμῖν ἐς τὸν Ἰσθμὸν
παρέσονται οἱ βάρβαροι οὔτε προβήσονται ἑκαστέρω τῆς
Ἀττικῆς, ἀπίασί τε οὐδενὶ κόσμῳ, Μεγάροισί τε κερ-
δανέομεν περιεοῦσι καὶ Αἰγίνῃ καὶ Σαλαμῖνι, ἐν τῇ 5
ἡμῖν καὶ λόγιόν ἐστι τῶν ἐχθρῶν κατύπερθε γενέσθαι.
οἰκότα μέν νυν βουλευομένοισι ἀνθρώποισι ὡς τὸ ἐπί-
παν ἐθέλει γίνεσθαι· μὴ δὲ οἰκότα βουλευομένοισι οὐκ
ἐθέλει οὐδὲ ὁ θεὸς προσχωρέειν πρὸς τὰς ἀνθρωπηίας
γνώμας.“ ταῦτα λέγοντος Θεμιστοκλέος αὖτις ὁ Κο- 61
ρίνθιος Ἀδείμαντος ἐπεφέρετο, σιγᾶν τε κελεύων τῷ μὴ
ἔστι πατρὶς καὶ Εὐρυβιάδεα οὐκ ἐῶν ἐπιψηφίζειν ἀπόλι
ἀνδρί· πόλιν γὰρ τὸν Θεμιστοκλέα παρεχόμενον οὕτω
ἐκέλευε γνώμας συμβάλλεσθαι. ταῦτα δέ οἱ προέφερε, 5
ὅτι ἠλώκεσάν τε καὶ κατείχοντο αἱ Ἀθῆναι. τότε δὴ ὁ
Θεμιστοκλέης ἐκεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε
καὶ κακὰ ἔλεγε, ἑωυτοῖσί τε ἐδήλου λόγῳ ὡς εἴη καὶ
πόλις καὶ γῆ μέζων ἢπερ ἐκείνοισι, ἔστ᾽ ἂν διηκόσιαι

60γ. 3f. Fehlte dem Feinde die begleitende Flotte, so mangelte ihm auch die Zufuhr in dem nahrungsarmen Lande, und er mufste eilen wieder seinen festländischen Stützpunkten näher zu kommen. — *Μεγάροισι κερδανέομεν*: die Konstruktion wie *ζημιοῦσθαι* (VII 39 15) und *κινδυνεύειν τινι* (c. 60α 11). Nachahmend Eur. Herakles 603 *μένοντι δ᾽ αὐτοῦ πάντα σοι γενήσεται Τῇ τ᾽ ἀσφαλείᾳ κερδανεῖς.*

6. *λόγιον*: s. VII 141 23.

8. *ἐθέλει* (sc. *οἰκότα*): zu I 74 21.

9. *ἀνθρωπηίας* war nach *βουλευομένοισι ἀνθρώποισι* nicht nöthig, ist aber, um die Antithese zu *θεός* zu verdeutlichen, hinzugesetzt.

61. 2. *ἐπεφέρετο*: zu I 209 16.

3. *ἐπιψηφίζειν* 'abstimmen lassen', was die Sache des Vorsitzenden war. Sonst gewöhnlich mit persönlichem Akkusativ, weil = *ἐπὶ τὴν ψῆφον πέμπειν* od. *καλεῖν*; hier aber mit dem Dativ der abstimmenden Person, in Analogie zu dem häufigen *ψῆφον διδόναι τινί*. Ebenso Lukian. Tim. 44 *εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχεκρατίδης Κολυττεύς, ἐπεψήφισε τῇ ἐκκλησίᾳ Τίμων ὁ αὐτός*. Diog. L. VII 10 *ἐκκλησίᾳ κυρίᾳ τῶν προέδρων ἐπεψήφισεν Ἵππων*. Andere erklären (über den Antrag) zu Gunsten eines heimathlosen Mannes abstimmen lassen'. Warum aber sollte der Antrag oder die Sache eines heimathlosen Mannes nicht Gegenstand einer Abstimmung sein dürfen? Vielmehr bestritt Ad. dem Them. als einem blofsen Privatmanne, da er ja keine *πόλις* mehr vertrete, das Recht mitzustimmen (*γνώμας συμβάλλεσθαι, sententias dicere*; vgl. V. 92α 14).

8. *λόγῳ*: zu I 129 9.

νέες σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ἑλλήνων
62 αὐτοὺς ἐπιόντας ἀποκρούσεσθαι. σημαίνων δὲ ταῦτα τῷ λόγῳ διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεστραμμένα. „σὺ εἰ μενέεις αὐτοῦ καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός· εἰ δὲ μή, ἀνατρέψεις τὴν Ἑλλάδα· τὸ πᾶν γὰρ ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νέες. ἀλλ' ἐμοὶ πείθεο. εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μέν, ὡς ἔχομεν, ἀναλαβόντες τοὺς οἰκέτας κομιεύμεθα ἐς Σῖριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ ἐστι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ λόγια λέγει ὑπ' ἡμέων αὐτὴν δεῖν κτισθῆναι· ὑμεῖς δὲ συμμάχων τοιῶνδε μουνωθέντες μεμνήσεσθε τῶν ἐμῶν
63 λόγων." ταῦτα δὲ Θεμιστοκλέος λέγοντος ἀνεδιδάσκετο Εὐρυβιάδης. δοκέειν δέ μοι, ἀρρωδήσας μάλιστα τοὺς Ἀθηναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν Ἰσθμὸν ἀνάγῃ τὰς νέας· ἀπολιπόντων γὰρ Ἀθηναίων οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. ταύτην δὴ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας διαναυμαχέειν.

62. ἐπεστραμμένος 'nachdrücklich, unumwunden'. Vgl. ἐπιστρεφέως I 30 18.

4. τὸ πᾶν 'die Hauptentscheidung'. Ehenso c. 100 14. — φέρουσι, *continent*. — Aesch. Pers. 343 ἔτ' ἀρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις; Antw. ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.

5. ἀλλά führt abkürzend und abbrechend mit lebhafter Wendung die Rede von der bisherigen Ausführung und Begründung zu ihrem Ziele, der unmittelbaren Forderung hinüber. Namentlich in Verbindung mit πείθεσθαι (VI 11 13. VIII 140β 13, u. IX 9 11. 46 12) besonders bei Homer häufig; Il. α 259 ἀλλὰ πίθεσθ', β 139 ἀλλ' ἄγετ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.

6. ὡς ἔχομεν: zu VI 17 8.

7f. Σῖρις, alte Stadt sikelischen oder, nach fabelhafter Angabe, troischen Ursprungs, am gleichnamigen Flusse, südlich von Metapont. Ionische Kolophonier oder Rhodier sollen sie hellenisirt haben. Sie war, wie das benachbarte Sybaris, sowohl des Wohlstandes als der Prunkliebe ihrer Bürger wegen berufen (Strab. 264. Athen. 523). — Der Zusatz τὴν ἐν Ἰταλίῃ wegen c. 115 17. — ἡμετέρη: worauf sich der Anspruch gründen mochte ist nicht nachzuweisen. Zwar legten die Athener im J. 444, wohl unter Rücksicht auf den Spruch, die Stadt Thurini an, und die Ansiedler suchten von da aus sich in der siritischen Landschaft festzusetzen, mufsten aber den widerstrebenden Tarentinern im J. 433 Antheil und Oberherrschaft zugestehen. Diese neue binnenwärts gelegene Anlage hiefs Herakleia, wozu das alte Siris den Hafenplatz abgab (Strab. a. O. Diod. XII 36). — ἔτι: zu V 62 17.

9. Diese λόγια sind auf die apokryphen Sprüche des Bakis, Mu-

Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα ἔπεσι ἀκροβολισάμενοι, 64
ἐπείτε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἡμέρη τε ἐγίνετο, καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ. ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας συμμάχους. ὡς δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα· εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι, αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλέοντο, ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ἄλλους Αἰακίδας νέα ἀπέστελλον ἐς Αἴγιναν.

Ἦφη δὲ Δίκαιος ὁ Θεοκύδεος, ἀνὴρ Ἀθηναῖος φυ- 65
γάς τε καὶ παρὰ Μήδοισι λόγιμος γενόμενος τοῦτον τὸν χρόνον, ἐπείτε ἐκείρετο ἡ Ἀττικὴ χώρη ὑπὸ τοῦ πεζοῦ στρατοῦ τοῦ Ξέρξεω ἐοῦσα ἐρῆμος Ἀθηναίων, τυχεῖν τότε ἐὼν ἅμα Δημαρήτῳ τῷ Λακεδαιμονίῳ ἐν τῷ Θριασίῳ πεδίῳ, ἰδεῖν δὲ κονιορτὸν χωρέοντα ἀπ' Ἐλευ-

saeos oder eines anderen alten Chresmologen zu beziehen. — *καὶ-αὐτήν*, st. *καὶ-τήν* (*ἥν*); zu II 40 3.

64. *ἔπεσι ἀκροβολισάμενοι* 'nach solchem Wortgefecht'. Zum Tropus vgl. *λόγων ὠθισμός* c. 78 1.

3. *τε*: zu VI 41 7.

4. Wie *ἐπικαλέσασθαι* u. 9. *ἐπὶ δὲ Αἰακὸν-νέα ἀπέστελλον* zu verstehen s. zu V 75 11.

6. *καὶ ἐποίευν*: zu VII 128 10.

9. *τοὺς ἄλλους Αἰακίδας*, Peleus, Phokos und ihre Nachkommen (Krisos, Panopeus u. A.), die, wenngleich im Mythos nicht mehr Einwohner der Insel, doch unter dem Sammelnamen *Αἰακίδαι* fortwährend daselbst Heroenkult besafsen (Pind. N. VII 10. Paus. II 29 2ff).

Wunderzeichen zu Eleusis (c. 65).

65. *Ἦφη*, zu den Hellenen, von denen der Vf. die Nachricht bezogen.

2. *τοῦτον τὸν χρόνον*: zu VII 50 22.

4. *Ἀθηναίων*: zu IV 99 18.

6. *Θριάσιον πεδίον* hiefs die nördl. vom Kithaeron und östl. vom Parnes her zur Küste auslaufende Ebene des nordwestl. Attika. Der Demos Thria, nach dem sie hiefs, nahm den gröfsten Theil derselben ein. Dikaeos durchzog sie oder lagerte dort mit dem einmarschirenden pers. Fufsvolk. Kam man, wie er, von Boeotien auf der Strafse nach Athen herab, so sah man Eleusis zur Rechten am Meere liegen. Das Ereignifs fiel auf den Tag vor der Schlacht (vgl. zu 17) und zwar gegen Abend: denn um diese Zeit pflegte die Prozession in Eleusis anzulangen. Plut. Them. 15. Phokion 28 verlegt es auf den Schlachttag selber und erzählt es so: *ἐν δὲ τούτῳ τοῦ ἀγῶνος ὄντες φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριάσιον κατέχειν πεδίον ἄχρι θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον. ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις.* Daraus

σῖνος ὡς ἀνδρῶν μάλιστά κῃ τρισμυρίων, ἀποθωυμάζειν τέ σφεας τὸν κονιορτὸν ὅτεών κοτε εἴη ἀνθρώπων, καὶ πρόκατε φωνῆς ἀκούειν, καί οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυστικὸν Ἴακχον. εἶναι δ' ἀδαήμονα τῶν ἱρῶν τῶν ἐν Ἐλευσῖνι γινομένων τὸν Δημάρητον, εἴρεσθαί τε αὐτὸν ὅ τι τὸ φθεγγόμενον εἴη τοῦτο. αὐτὸς δὲ εἶπαι „Δημάρητε, οὐκ ἔστι ὅκως οὐ μέγα τι σίνος ἔσται τῇ βασιλέος στρατιῇ· τάδε γὰρ ἀρίδηλα ἐρήμου ἐούσης τῆς Ἀττικῆς, ὅτι θεῖον τὸ φθεγγόμενον, ἀπ' Ἐλευσῖνος ἰὸν ἐς τιμωρίην Ἀθηναίοισί τε καὶ τοῖσι συμμάχοισι. καὶ ἢν μέν γε κατασκήψῃ ἐς τὴν Πελοπόννησον, κίνδυνος αὐτῷ τε βασιλέι καὶ τῇ στρατιῇ τῇ ἐν τῇ ἠπείρῳ ἔσται, ἢν δὲ ἐπὶ τὰς νέας τράπηται τὰς ἐν Σαλαμῖνι, τὸν ναυτικὸν στρατὸν κινδυνεύσει βασιλεὺς ἀποβαλεῖν. τὴν δὲ ὁρτὴν ταύτην ἄγουσι Ἀθηναῖοι ἀνὰ

ergiht sich für das Datum der Schlacht eine Differenz von einem Tage, indem sie nach H. am 21., nach Plut. am 20. Boëdromion (ungefähr der 20. Sept.), dem herkömmlichen Iakchos-tage, stattfand. Wird aber die abendliche Zeit des Iakchoszuges nach hellen. Weise schon zum folgenden Festtage gerechnet, so war der Schlachttag nach H. eben der 20. Boëdromion, nach der Erzählung des Plut. aber der 19.

7. *τρισμυρίων*: die Zahl rührt natürlich nicht von der ungefähren Schätzung des Dikaeos her, der nur den aufwirbelnden Staub der einherziehenden Masse und ihren Festruf von fern wahrnahm, sondern entweder von der herkömmlichen Angabe über die Stärke der athen. Bürgerschaft (zu V 97 15), die sich an der Prozession vollzählig zu betheiligen pflegte (Plut. Phok. 34); wobei die mitziehenden Frauen und Fremden noch nicht einmal verrechnet sind. Oder, was wahrscheinlicher, es ist die durchschnittliche Zahl der Mysten, sowohl Athener als anderer Hellenen (23). Das für sie in Eleusis unter der Verwaltung des Perikles aufgeführte Gebäude hatte den Umfang eines grofsen Theaters (Strab. 395, 12).

9. *καὶ πρόκατε*: zu I 111 26.

10. Ἴακχος hiefs erstens der festliche Ruf, den die Eingeweihten während des Zuges erschallen liefsen (Ἴακχ', ὦ Ἴακχε); zweitens der Tag der Prozession, der 20. Boëdromion, der glanzvollste des vieltägigen Festes der grofsen Eleusinien; endlich der Gott selber, der Führer des Zuges, eine speziell diesem Kulte eigenthümliche Form des Dionysos. — *μυστικόν*, weil von den *μεμυημένοι* gesungen (Ar. Ran 320).

17. *κατασκήψῃ*: als Subjekt schwebt schon hier dem Sprechenden *νέφος* (31) vor. — *ἐς τὴν Πελοπόννησον*, wohin sich das feindliche Landheer eben in dieser Nacht, vor dem Tage der Seeschlacht, in Bewegung setzte (c. 71).

21. *τὴν δὲ ὁρτὴν ταύτην*, die Eleusinien, von denen nur die Vorbereitungen und die Vorfeier in die Stadt und ihre Umgebung selber

πάντα ἔτεα τῇ τε Δήμητρι καὶ τῇ Κούρῃ, καὶ αὐτῶν τε ὁ βουλόμενος καὶ τῶν ἄλλων Ἑλλήνων μυέεται· καὶ τὴν φωνὴν τῆς ἀκούεις ἐν ταύτῃ τῇ ὁρτῇ ἰακχάζουσι.“ πρὸς ταῦτα εἶπαι Δημάρητον „σίγα τε καὶ μηδενὶ ἄλλῳ τὸν λόγον τοῦτον εἴπῃς· ἢν γάρ τοι ἐς βασιλέα ἀνενειχθῇ τὰ ἔπεα ταῦτα, ἀποβαλέεις τὴν κεφαλήν, καί σε οὔτε ἐγὼ δυνήσομαι ῥύσασθαι οὔτ' ἄλλος ἀνθρώπων οὐδὲ εἷς. ἀλλ' ἔχ' ἥσυχος, περὶ δὲ στρατιῆς τῆσδε θεοῖσι μελήσει.“ τὸν μὲν δὴ ταῦτα παραινέειν, ἐκ δὲ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς γενέσθαι νέφος καὶ μετάρσιωθὲν φέρεσθαι ἐπὶ Σαλαμῖνος ἐς τὸ στρατόπεδον τὸ τῶν Ἑλλήνων· οὕτω δὲ αὐτοὺς μαθεῖν ὅτι τὸ ναυτικὸν τὸ Ξέρξεω ἀπολέεσθαι μέλλοι. ταῦτα μὲν Δίκαιος ὁ Θεοκύδεος ἔλεγε, Δημαρήτου τε καὶ ἄλλων μαρτύρων καταπτόμενος.

Οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν στρατὸν ταχθέντες, 66
ἐπειδὴ ἐκ Τρηχῖνος ὁρμηθέντες τὸ τρῶμα τὸ Λακωνικὸν διέβησαν ἐς τὴν Ἱστιαίην, ἐπισχόντες ἡμέρας τρεῖς ἔπλωον δι' Εὐρίπου, καὶ ἐν ἑτέρῃσι τρισὶ ἡμέρῃσι ἐγένοντο ἐν Φαλήρῳ. ὡς μὲν ἐμοὶ δοκέειν, οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν ἐσέβαλον ἐς τὰς Ἀθήνας, κατά τε ἤπειρον καὶ τῇσι νησὶ ἀπικόμενοι, ἢ ἐπί τε Σηπιάδα ἀπίκοντο καὶ ἐς Θερμοπύλας· ἀντιθήσω γὰρ τοῖσί τε

fielen, worauf am 5. oder 6. Tage der grofse Auszug nach Eleusis, der uralten Kultusstätte, folgte, wo sich die weiteren Gebräuche anschlussen.

23. Am ersten Tage wurden die heiligen Handlungen durch eine Verkündigung des Hierophanten und Dadnchen eingeleitet, worin unter anderen jedem Nichthellenen und jedem durch Blutschuld Befleckten die Theilnahme untersagt ward.

30. *ἐκ*, zeitlich.

32. *μεταρσιωθέν*: Planudes zu Hermogenes p. 483 las besser *μετάρσιον γενόμενον*. Das Verbum ist sehr späten Gebrauches.

36. *καταπτόμενος*: zu VI 68 4.

Die persische Flotte bei Phaleron. Kriegsrath; Rede der Artemisia (c. 66—69).

66. Anknüpfend an c. 24.

5. *ἐν Φαλήρῳ*: zu VI 116 7. — *ὡς μὲν ἐμοὶ δοκέειν*, asyndetisch wie VII 24 1, wo auch über *μέν*.

6. *τὰς Ἀθήνας* = *τὴν Ἀττικήν*; zu V 57 9. Ebenso c. 67 1.

8. *ἀντιθήσω*: vgl. I 207 20. Für das Fufsvolk mochte die Ergänzung ausreichen, aber nicht für die Flotte, deren Verluste, seit dem Sturme bei Sepias, nach des Vf.'s eigenen Angaben (VII 190. 194. VIII 11. 13ff.) auf wenigstens 700 Trieren

ὑπὸ τοῦ χειμῶνος αὐτῶν ἀπολομένοισι καὶ τοῖσι ἐν Θερμοπύλῃσι καὶ τῇσι ἐπ' Ἀρτεμισίῳ ναυμαχίῃσι τούσδε τοὺς τότε οὔκω ἑπομένους βασιλέι, Μηλιέας τε καὶ Λωριέας καὶ Λοκροὺς καὶ Βοιωτοὺς πανστρατιῇ ἑπομένους πλὴν Θεσπιέων τε καὶ Πλαταιέων, καὶ μάλα Καρυστίους τε καὶ Ἀνδρίους καὶ Τηνίους τε καὶ τοὺς λοιποὺς νησιώτας πάντας, πλὴν τῶν πέντε πολίων τῶν ἐπεμνήσθην πρότερον τὰ οὐνόματα. ὅσῳ γὰρ δὴ προέβαινε ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ πλέω ἔθνεά οἱ εἵπετο.

67 Ἐπεὶ ὦν ἀπίκατο ἐς τὰς Ἀθήνας πάντες οὗτοι πλὴν Παρίων (Πάριοι δὲ ὑπολειφθέντες ἐν Κύθνῳ ἐκαραδόκεον τὸν πόλεμον κῇ ἀποβήσεται), οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέβη αὐτὸς Ξέρξης ἐπὶ τὰς νέας, ἐθέλων σφι συμμῖξαί τε καὶ πυθέσθαι τῶν ἐπιπλωόντων τὰς γνώμας. ἐπεὶ δὲ ἀπικόμενος προΐζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι καὶ ταξίαρχοι ἀπὸ τῶν νεῶν, καὶ ἵζοντο ὥς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε, πρῶτος μὲν ὁ Σιδώ-

zu schätzen sind, so dafs von der ursprünglichen Zahl 1327 (VII 89 1. 184 4. 185 5) noch etwas über 600 kampffähig waren (womit Diod. XI 19. 27 stimmt): wogegen die Kontingente der Inseln (15), wenn man die Angaben in c. 46 ff. als Mafsstab ihrer Stärke gebraucht, kaum als Ersatz in Betracht kommen können. Ueberdies waren dieselben, aufser dem euboeischen Karystos und vielleicht einigen der westlichsten, schon in jener ersten Summe mit 17 Schiffen vertreten (VII 95). Dem Autor aber kommt es darauf an das Mafsverhältnifs der Streitkräfte, worauf eben der Ruhm des salaminischen Sieges sich vorzugsweise gründete, möglichst unverändert zu erhalten; nur hätte er seine entgegengesetzte Bemerkung c. 13 9 nicht vergessen dürfen.

11 ff. IX 32 15 werden diese hellen. Truppen auf 50000 veranschlagt. — *καὶ μάλα*: zu I 134 16. Die von hierab Genannten stellten Schiffe.

15. *νησιώτας*: vgl. zu VII 95 1. — *τῶν πέντε πολίων*, der Naxier Melier Siphnier Seriphier Kythnier (c. 46). Die Insel Keos (c. 1 10. 46 8) ist wohl nur zufällig vergessen.

16. *ἐπεμνήσθην - τὰ οὐνόματα*: vgl. VI 136 9.

67. 3. *οἱ δέ*: vgl. VII 95 10.

6. *ἐπιπλωόντων*: zu VII 184 31. — *προΐζετο*, an hervorragender bevorzugter Stelle (vgl. IV 88 5. VII 44 3), als *πρόεδρος* der Versammlung. Sonst *προκαθίζειν* (I 14 14. 97 4) u. *-εσθαι* (V 12 9).

8. *ταξίαρχοι*, hier wie VII 99 1 von Schiffsführern; sonst auch H. nur bei Landheeren.

9 f. *πρῶτος*: vgl. zu VII 100 8. — *ὁ Σιδώνιος βασιλεύς*, wie c. 5 4 *ὁ Κο-*

νιος βασιλεύς, μετὰ δὲ ὁ Τύριος, ἐπὶ δὲ ὦλλοι. ὡς δὲ κόσμῳ ἐπεξῆς ἵζοντο, πέμψας Ξέρξης Μαρδόνιον εἰρώτα, ἀποπειρεόμενος ἑκάστου, εἰ ναυμαχίην ποιέοιτο. ἐπεὶ δὲ περιιὼν εἰρώτα ὁ Μαρδόνιος ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, οἱ μὲν δὴ ἄλλοι κατὰ τωὐτὸ γνώμην ἐξεφέροντο κελεύοντες ναυμαχίην ποιέεσθαι, Ἀρτεμισίη δὲ τάδε ἔφη. „εἶπαί μοι πρὸς βασιλέα, Μαρδόνιε, ὡς ἐγὼ τάδε λέγω, οὔτε κακίστη γενομένη ἐν τῇσι ναυμαχίῃσι τῇσι πρὸς Εὐβοίῃ οὔτε ἐλάχιστα ἀποδεξαμένη. δέσποτα, τὴν δὲ ἐοῦσαν γνώμην με δίκαιόν ἐστι ἀποδείκνυσθαι, τὰ τυγχάνω φρονέουσα ἄριστα ἐς πρήγματα τὰ σά. καί τοι τάδε λέγω, φείδεο τῶν νεῶν μηδὲ ναυμαχίην ποιέο· οἱ γὰρ ἄνδρες τῶν σῶν ἀνδρῶν κρέσσονες τοσοῦτό εἰσι κατὰ θάλασσαν ὅσον ἄνδρες γυναικῶν. τί δὲ πάντως δεῖ σε ναυμαχίῃσι ἀνακινδυνεύειν; οὐκ ἔχεις μὲν τὰς Ἀθήνας, τῶν περ εἵνεκεν ὡρμήθης στρατεύεσθαι, ἔχεις δὲ τὴν ἄλλην Ἑλλάδα; ἐμποδὼν δέ τοι ἵσταται οὐδείς· οἳ δέ τοι ἀντέστησαν, ἀπήλλαξαν οὕτω ὡς ἐκείνους ἔπρεπε. τῇ δὲ ἐγὼ δοκέω ἀποβήσεσθαι τὰ τῶν ἀντιπολέμιων πρήγματα, τοῦτο φράσω. ἢν μὲν μὴ ἐπειχθῇς ναυμαχίην ποιεύμενος, ἀλλὰ τὰς νέας αὐτοῦ ἔχῃς πρὸς γῇ μένων ἢ καὶ προβαίνων ἐς τὴν Πελοπόννησον, εὐπετέως τοι δέσποτα χωρήσει τὰ νοέων ἐλήλυθας. οὐ γὰρ οἷοί τε πολλὸν χρόνον εἰσί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλά σφεας διασκεδᾷς, κατὰ

10 68 α) β) 5 10 5

ρίνθιος στρατηγός; sonst ὁ Σιδωνίων βασιλεύς oder blofs ὁ Σιδώνιος.

68. 2. *κατὰ - ἐξεφέροντο*: dieselbe Redeweise V 36 6.

68α. *εἶπαί μοι - Μαρδόνιε*: vgl. Il. ξ 501 *εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος Πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν*, und III 139 22.

4. Durch *δέ* setzt die Redende ihr Benehmen wie ihre Ansicht in entschiedenen Gegensatz zu den Uebrigen, von denen sie zu merken gibt dafs sie nicht ihre wirkliche Ueberzeugung geäufsert. Aehnlich III 82 3. VIII 137 21. 142 3. Ueber die Stellung der Partikel zu VII 141 23. — *ἐοῦσαν* 'wirklich, wahr'. Vgl. zu I 30 16. II 28 19.

5. *τὰ τυγχάνω φρονέουσα* ist Ausführung zu *γνώμην*. S. oben c. 59 3.

9. *ἀνακινδυνεύειν*, bei H. überall *periculum, discrimen subire* (IV 11 11. VIII 100 7. IX 26 14. 41 18).

13. *ὡς ἐκείνους ἔπρεπε*: vgl. IV 139 17.

68β. 5. *χωρήσει*: zu III 42 5.

πόλις δὲ ἕκασται φεύξονται. οὔτε γὰρ σῖτος πάρα σφίσι ἐν τῇ νήσῳ ταύτῃ, ὡς ἐγὼ πυνθάνομαι, οὔτε αὐτοὺς οἰκός, ἢν σὺ ἐπὶ τὴν Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατόν, ἀτρεμιεῖν τοὺς ἐκεῖθεν αὐτῶν ἥκοντας, οὐδέ γ) σφι μελήσει πρὸ τῶν Ἀθηνέων ναυμαχέειν. ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι, δειμαίνω μὴ ὁ ναυτικὸς στρατὸς κακωθεὶς τὸν πεζὸν προσδηλήσηται. πρὸς δὲ ὦ βασιλεῦ καὶ τόδε ἐς θυμὸν βάλευ, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί. σοὶ δὲ ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων κακοὶ δοῦλοί εἰσι, οἳ ἐν συμμάχων λόγῳ λέγονται εἶναι ἐόντες Αἰγύπτιοί τε καὶ Κύπριοι καὶ Κίλικες καὶ Πάμφυλοι, τῶν ὄφελός ἐστι οὐδέν.“ ταῦτα λεγούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἦσαν εὔνοοι τῇ Ἀρτεμισίῃ, συμφορὴν ἐποιεῦντο τοὺς λόγους ὡς κακόν τι πεισομένης πρὸς βασιλέος, ὅτι οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι, οἳ δὲ ἀγεόμενοί τε καὶ φθονέοντες αὐτῇ, ἅτε ἐν πρώτοισι τετιμημένης διὰ πάντων τῶν συμμάχων, ἐτέρποντο τῇ ἀνακρίσι ὡς ἀπολεομένης αὐτῆς. ἐπεὶ δὲ ἀνηνείχθησαν αἱ γνῶμαι ἐς Ξέρξεα, κάρτα τε ἥσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης, καὶ νομίζων ἔτι πρό-

8. *πάρα*: zu V 31 5.

11. *τοὺς - ἥκοντας* beschränkt nachträglich den Umfang von *αὐτούς*, der auch die Athener begreift.

12. *Ἀθηνέων*: auch hier ist das Land gemeint; s. c. 70 8. 74 11.

68 *γ*. 4. *βάλευ*: der Accent wie VII 51 14.

69. 5 f. *ἀγεόμενοί τε καὶ φθονέοντες* ‘aus Schelsucht und Neid’. Ueber *ἀγᾶσθαι* zu VI 61 4. — *αὐτῇ - τετιμημένης*: zu I 3 8. Hier ist die Inkongruenz der Iiasus für den Gedanken bedeutend; *ἅτε τετιμημένης* gibt eine vom Autor vertretene Thatsache, *ἅτε τετιμημένῃ* könnte ein nur vorgebliches Motiv der Neider bezeichnen. — *διὰ πάντων*: zu I 25 6.

7. *ἀνάκρισις* ‘Einrede, Widerspruch’ (näml. *οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι*); von *ἀνακρίνεσθαι* ‘hadern, zanken’, *νεικέειν* (IX 56 2 vgl. mit IX 55 6 u. 8). Aehnlich Plat. Charm. 176 *βιάσει ἄρα, ἦν δ' ἐγώ, καὶ οὐδ' ἀνάκρισίν μοι δώσεις; — ἀλλ' οὐδεμία, ἔφην ἐγώ, λείπεται βουλή. σοὶ γὰρ ἐπιχειροῦντι πράττειν ὁτιοῦν καὶ βιαζομένῳ οὐδεὶς οἱός τ' ἔσται ἐναντιοῦσθαι ἀνθρώπων.* Phaedr. 277 *ῥαψῳδούμενοι (λόγοι) ἄνευ ἀνακρίσεως καὶ διδαχῆς πειθοῦς ἕνεκα ἐλέχθησαν* ‘ohne Einrede zuzulassen und ohne weitere Aufklärung’. Sonst meist ein forensischer Ausdruck von der *cognitio causae*.

9. *ἔτι πρότερον*: zu V 63 17.

τερον σπουδαίην εἶναι τότε πολλῷ μᾶλλον αἴνεε. ὅμως δὲ τοῖσι πλέοσι πείθεσθαι ἐκέλευε, τάδε καταδόξας, πρὸς μὲν Εὐβοίῃ σφέας ἐθελοκακέειν ὡς οὐ παρεόντος αὐτοῦ, τότε δὲ αὐτὸς παρεσκεύαστο θηήσασθαι ναυμαχέοντας.

Ἐπεὶ δὲ παρήγγελλον ἀναπλώειν, ἀνῆγον τὰς νέας ἐπὶ τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν διαταχθέντες κατ' ἡσυχίην. τότε μέν νυν οὐκ ἐξέχρησέ σφι ἡ ἡμέρη ναυμαχίην ποιήσασθαι· νὺξ γὰρ ἐπεγένετο· οἱ δὲ παρεσκευάζοντο ἐς τὴν ὑστεραίην. τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀρρωδίη, οὐκ ἧκιστα δὲ τοὺς ἀπὸ Πελοποννήσου. ἀρρώδεον δέ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν, νικηθέντες τε ἐν νήσῳ ἀπολαμφθέντες πολιορκήσονται, ἀπέντες τὴν ἑωυτῶν ἀφύλακτον· τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν νύκτα ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον. καίτοι τὰ δυνατὰ πάντα ἐμεμηχάνητο ὅκως κατ' ἤπειρον μὴ ἐσβάλοιεν οἱ βάρβαροι. ὡς γὰρ ἐπύθοντο τάχιστα Πελοποννήσιοι τοὺς ἀμφὶ Λεωνίδεα ἐν Θερμοπύλῃσι τετελευτηκέναι, συνδραμόντες ἐκ τῶν πολίων ἐς τὸν Ἰσθμὸν ἵζοντο, καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος ὁ Ἀναξανδρίδεω, Λεωνίδεω δὲ ἀδελφεός. ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ καὶ συγχώσαντες τὴν Σκιρωνίδα ὁδόν,

Befestigung des Isthmos. Volksstämme des Peloponnes (c. 70—73).

70. 2. *παρεκρίθησαν* 'stellten sich in Schlachtlinie auf'. Vgl. IX 98 10.

6. *δέος τε καὶ ἀρρωδίη*: zu IV 115 5.

11. *ἐπορεύετο*, noch von *ὅτι* abh., 'sich in Marsch setzte'. — *ἐπὶ τὴν Πελοπόννησον*, zunächst nach Megara, über welches sie aber nicht hinauskamen (IX 14). Gewifs stand diese Bewegung mit der beabsichtigten Umzinglung der Hellenen (zu c. 76 6) in Zusammenhang; es sollte sich auch die Mannschaft der abgesperrten Schiffe nicht ans Land retten können (vgl. c. 76 13 ff.).

71. 7 ff. *συγχώσαντες* 'unwegsam machend'. Der Ausdruck setzt eine künstlich gebahnte Strafse voraus; vgl. VII 115 13. Nach megarischer Sage hatte sie Skiron zuerst für Fufsgänger wegsam gemacht (Paus. I 44 6); aber erst Kaiser Hadrian legte eine fahrbare sichere Kunststrafse an. Von den drei Wegen, die über den breiten und hohen Gebirgsriegel der Geraneia aus Mittel-bellas nach dem Peloponn-

μετὰ τοῦτο ὡς σφι ἔδοξε βουλευομένοισι, οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. ἅτε δὲ ἐουσέων μυριάδων πολλέων
10 *καὶ παντὸς ἀνδρὸς ἐργαζομένου, ἠνύετο τὸ ἔργον· καὶ γὰρ λίθοι καὶ πλίνθοι καὶ ξύλα καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίννον οὐδένα χρόνον οἱ βοηθή-*
72 *σαντες ἐργαζόμενοι, οὔτε νυκτὸς οὔτε ἡμέρης. οἱ δὲ βοηθήσαντες ἐς τὸν Ἰσθμὸν πανδημεὶ οἵδε ἦσαν Ἑλλήνων, Λακεδαιμόνιοί τε καὶ Ἀρκάδες πάντες καὶ Ἠλεῖοι καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Ἐπιδαύριοι καὶ Φλιάσιοι*
5 *καὶ Τροιζήνιοι καὶ Ἑρμιονέες. οὗτοι μὲν ἦσαν οἱ βοηθήσαντες καὶ ὑπεραρρωδέοντες τῇ Ἑλλάδι κινδυνευούσῃ·*

nes führten, war und ist dieser der kürzeste und gebrauchteste, aber auch gefährlichste (noch heute deshalb *κακὴ σκάλα* 'böse Stiege' genannt). Eine Stunde westl. von Megara steigt er den schmalen Rand der steilen und mit losem Konglomerat bedeckten Küstenfelsen (*Σκιρωνίδες* od. *Σκιράδες πέτραι*) hinan und läuft eine Meile weit zwischen dem jähen 6—700 Fufs tiefen Absturz zur Linken und der Bergwand zur Rechten, worauf er wieder in die kleinen Küstenebenen hinabsteigt, die sich zwischen dem Fufse der Geraneia und dem saronischen Meere öffnen, und die Bucht von Schoinus erreicht, von der aus sich der Isthmos in kürzester Linie (18300 F.) nach dem jenseitigen Meer hinüberzieht. Hier finden sich noch die fast ununterbrochenen Reste der den Isthmos absperrenden Quermauer, mächtige breite Quaderhauten, mit regelmäfsig ostwärts vorspringenden viereckigen Thürmen, nicht geradlinig sondern möglichst dem felsigen Rande der Anhöhen, welche die Breite des Landrückens überziehen, wie einem natürlichen Wallgraben folgend. Innerhalb der Befestigung finden sich Brunnenschachte, um die Besatzung mit Wasser zu versorgen; an verschiedenen Stellen, besonders in der Mitte und an den Endpunkten Grundmauern von Kastellen. Die Länge beträgt 22470 F., beträchtlich mehr als der schmale Durchschnitt des Isthmos. Etwa hundert Schritt weiter gegen Megara bemerkt man die Spuren einer zweiten Mauerlinie, einer Art Aufsen- und Vorwerkes. Später ward die Mauer, so oft Einfälle von Norden drohten, wieder als Schanzwehr benutzt, gegen die Galler Avaren Slaven und Türken, zuletzt von den Venetianern im J. 1463. (Curtius Pelop. I 9 ff. II 546 f.).

9. *μυριάδων πολλέων*: vgl. IX 8 6.

10 f. *ἠνύετο*: zum Abschlufs kam es erst im Sommer des folgenden Jahres (IX 8). — *λίθοι*, Werkstücke, zum Unterbau. — *ξύλα*, zu Pallisaden und zum Bau der Thürme und Kasematten. — *ψάμμου*, sowohl zum Mörtel als zur Ausfüllung der Mauerwände, die nach antiker Befestigungsweise meist nur eine massive Beschalung hatten, während der innere Zwischenraum mit Schuttwerk und Geröll gefüllt ward.

72. 3. *πάντες* gehört nur zu *Ἀρκάδες*, die in eine Anzahl autonomer Kantone zerfielen. Vgl. VII 202.

6. *τῇ Ἑλλάδι*: der Dativ ist anomal. Eur. Suppl. 344 *ἡ τεκοῦσα*

τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια παροιχώκεε ἤδη. οἰκέει δὲ τὴν Πελο- 73
πόννησον ἔθνεα ἑπτά. τούτων δὲ τὰ μὲν δύο αὐτόχθονα ἐόντα κατὰ χώρην ἵδρυται νῦν τῇ καὶ τὸ πάλαι οἴκεον, Ἀρκάδες τε καὶ Κυνούριοι· ἓν δὲ ἔθνος τὸ Ἀχαιικὸν ἐκ μὲν Πελοποννήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς ἑωυ- 5
τῶν, οἰκέει δὲ τὴν ἀλλοτρίην. τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα ἐπήλυδά ἐστι, Δωριέες τε καὶ Αἰτωλοὶ καὶ Δρύοπες καὶ Λήμνιοι· Δωριέων μὲν πολλαί τε καὶ δόκιμοι πόλιες, Αἰτωλῶν δὲ Ἦλις μούνη, Δρυόπων δὲ Ἑρμιόνη τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ Λακω- 10
νικῇ, Λημνίων δὲ Παρωρεῆται πάντες. οἱ δὲ Κυνούριοι αὐτόχθονες ἐόντες δοκέουσι μοῦνοι εἶναι Ἴωνες,

χὐπερορρωδοῦσ' ἐμοῦ. Ueber Aehnliches zu I 214 2. III 37 5. IV 140 15. 141 5. IX 2 7.

7 f. *Ὀλύμπια – Κάρνεια*, die früher einen Grund zum Ausbleiben bergaben (VII 206).

73. 2. Eine ähnliche Uebersicht IV 37 ff.

3. *κατὰ χώρην*, *eodem loco*, 'unverrückt'. S. zu III 135 18. Auch *ἵδρυται* enthält den Begriff der festen Sefshaftigkeit. — *οἴκεον*: zu III 88 14.

4. *Ἀρκάδες*, als Pelasger (I 146 8). Vgl. II 171 12. Auch die Achaeer müssen dem Vf. für einstige Pelasger gegolten haben; er spricht sich aber nirgend über sie aus.

6. *τὴν ἀλλοτρίην*: der Artikel wie Isokr. Hel. 50 *μένοντες ἐπὶ τῆς ἀλλοτρίας καταγηράσκειν - μᾶλλον ἢ κείνην καταλιπόντες εἰς τὰς αὐτῶν πατρίδας ἐπανελθεῖν*, Strabo 373 *Λακεδαιμόνιοι - πολλὴν κατακτησάμενοι τῆς ἀλλοτρίας*, sprüchwörtlich *δειπνεῖν τἀλλότρια, λαλεῖν τἀλλότρια*. Zur Sache s. I 145.

7. *τέσσερα*: über die Stellung vgl. zu VII 47 13.

9. *πόλιες*, sc. *ἐπήλυδές εἰσι*. — — *Δρυόπων*: zu c. 43 9.

10. *Ἀσίνη*: es gab drei Orte des Namens. Der eine lag in Argolis nahe bei Nauplia, von den argeischen Doriern um die Zeit des ersten messenischen Krieges zerstört. Die dryopischen Einwohner fanden Aufnahme bei Sparta, das ihnen auf dem eben eroberten messen. Gebiete, auf der Südwestküste des koronnischen Mb. eine neue Heimath gewährte, wo sie ein anderes Asine gründeten und ihre Stammesart treu bewahrten (Strab. 373. Paus. II 36 4. III 7 4. IV 14 3. 34 6 ff.). Denselben Namen führte aber auch drittens die lakon. Seestadt *Λάς* (Curt. Pelop. II 324). Hier ist das zweite gemeint. Kardamyle lag freilich nicht eigentlich in der Nähe (*πρός*), sondern gegenüber an der lakon. Küste, war aber wohl damals die namhafteste Stadt dieser Gegend.

11. *Λημνίων*, aus Lemnos eingewanderte Minyer (IV 145 ff.). — *Παρωρεῆται*: s. IV 148 12 ff. m. Anm.

12. *δοκέουσι – Ἴωνες* enthält in kürzester Fassung zwei Gedanken: 'die Kyn. scheinen Ioner zu sein, und sind (in diesem Falle) die einzigen auf der Halbinsel noch übrigen'; da nämlich die aegialischen längst ausgewandert sind. Zur Satz-

ἐκδεδωρίωνται δὲ ὑπό τε Ἀργείων ἀρχόμενοι καὶ τοῦ χρόνου, ἐόντες Ὀρνεῆταί τε καὶ περίοικοι. τούτων ὧν τῶν ἑπτὰ ἐθνέων αἱ λοιπαὶ πόλιες, πάρεξ τῶν κατέλεξα, ἐκ τοῦ μέσου κατέατο· εἰ δὲ ἐλευθέρως ἔξεστι εἶπαι, ἐκ τοῦ μέσου κατήμενοι ἐμήδιζον.

74 Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ τοιούτῳ πόνῳ συνέστασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη [δρόμου] θέοντες καὶ τῇσι νησὶ οὐκ ἐλπίζοντες ἐλλάμψεσθαι· οἱ δὲ ἐν Σαλαμῖνι ὅμως ταῦτα πυνθανόμενοι ἀρρώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες ὡς περὶ τῇ Πελοποννήσῳ. τέως μὲν δὴ αὐτῶν ἀνὴρ ἀνδρὶ παραστὰς σιγῇ λόγον ἐποιέετο, θῶυμα ποιεύμενοι τὴν Εὐρυβιάδεω ἀβουλίην· τέλος δὲ ἐξερράγη ἐς τὸ μέσον. σύλλογός τε δὴ ἐγίνετο,

form vgl. VI 7 6. Nur als Ioner, nicht auch (wie die Arkader) als Pelasger mag sie H. wohl darum beansprnchen, weil die Ueberlieferung die dorischen Einwanderer, denen er sie hier gegenüber stellt, aufser den Arkadern, nicht mehr mit pelasgischen Urbewohnern in Konflikt gerathen läfst. Ioner aber sind ihm überall nur verjüngte Pelasger (I 56 ff.). Einen speziellen thatsächlichen Grund sie Ioner zu nennen scheint er nicht gehabt zu haben.

13. *ἀρχόμενοι*: zu c. 59 7.

14. Die Einwohner der Stadt *Ὀρνεαί* (nordwestl. von Argos) waren von den Argeiern unterworfen und in ein ähnliches Verhältnifs zu der regierenden Hauptstadt gebracht worden wie die der lakonischen Städte zu Sparta, d. h. sie waren aus einer autonomen *πόλις* zu einer abhängigen Landgemeinde (*κώμη*) von Perioeken erniedrigt wurden. Nach ihnen hiefsen auch die übrigen Perioeken in Argolis Orneaten, so dafs hier *Ὀρνεῆται* u. *περίοικοι* synonyme Begriffe waren. Vgl. die italischen *Caerites*. Für die Kynurier galt jedoch damals die Bezeichnung schon nicht mehr; denn seit 550 standen sie, wahrscheinlich in demselben Verhältnisse, unter Sparta (I 82), und zu H.'s Zeit hatte auch in Argos selber das Perioekenthum ganz aufgehört, indem man nach den Perserkriegen die Landgemeinden sämmtlich mit der Stadtgemeinde verschmolzen hatte (Paus. VIII 27 1).

16. *ἐκ τοῦ μέσου κατέατο*: zu III 83 13.

Auflehnung der Peloponnesier. List des Themistokles; Sikinnos. Umzingelung. Spruch des Bakis. Aristeides. Die Tenier (c. 74—82).

74. *πόνῳ συνέστασαν*: vgl. VII 170 8.

2. *θέοντες*: zu VII 57 6.

4. *ὅμως*, obgleich sie von der eifrigen Arbeit hörten (*ταῦτα πυνθ.*).

6 f. *λόγον ἐποιέετο* = *διελέγετο*. Vgl. IX 94 5. — *θῶυμα ποιεύμενοι*: zu VII 99 3. Der Plural, weil durch *ἀνὴρ ἀνδρί* die Vorstellung der Vielheit erregt ist. Vgl. zu II 137 11. VII 91 6.

8. *ἐξερράγη*, das Unwetter, der bisher verhaltene Unwille. Zum Impersonale vgl. III 71 3. 82 16. VIII 6 2.

καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτῶν, οἱ μὲν ὡς ἐς τὴν Πελοπόννησον χρεὼν εἴη ἀποπλώειν καὶ περὶ ἐκείνης κινδυνεύειν μηδὲ πρὸ χώρης δοριαλώτου μένοντας μάχεσθαι, Ἀθηναῖοι δὲ καὶ Αἰγινῆται καὶ Μεγαρέες αὐτοῦ μένοντας ἀμύνεσθαι. ἐνθαῦτα Θεμιστοκλέης ὡς ἐσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου, ἐξελθὼν δὲ πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ ἐντειλάμενος τὰ λέγειν χρεών, τῷ οὔνομα μὲν ἦν Σίκινος, οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλέος παίδων· τὸν δὴ ὕστερον τούτων τῶν πρηγμάτων Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας, καὶ χρήμασι ὄλβιον. ὃς τότε πλοίῳ ἀπικόμενος ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν βαρβάρων τάδε. „ἔπεμψέ με στρατηγὸς ὁ Ἀθηναίων λάθρῃ τῶν ἄλλων Ἑλλήνων (τυγχάνει γὰρ φρονέων τὰ βασιλέος καὶ βουλόμενος μᾶλλον τὰ ὑμέτερα κατυπέρτερα γίνεσθαι ἢ τὰ τῶν Ἑλλήνων πρήγματα) φράσοντα ὅτι οἱ Ἕλληνες δρησμὸν βουλεύονται καταρρωδηκότες, καὶ νῦν παρέχει κάλλιστον ὑμέας ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν μὴ περιίδητε διαδράντας αὐτούς. οὔτε γὰρ ἀλλήλοισι ὁμοφρονέουσι οὔτ' ἔτι ἀν-

9. *περὶ τῶν αὐτῶν*, worüber man schon in der vorigen Versammlung berathen und beschlossen hatte (c. 49 ff.). — *οἱ μέν*, als ob *πολλὰ ἔλεγον* voraufginge. Aesch. Prom. 202 *στάσις τ' ἐν ἀλλήλοισιν ὠρσθύνετο, οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνου· οἱ δὲ τοὔμπαλιν Σπεύδοντες*, Soph. Ant. 259 *λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοί, Φύλαξ ἑλέγχων φύλακα.*

75. *ὡς ἐσσοῦτο γνώμῃ*, als er sah dafs seine Ansicht bei den Peloponnesiern unterliegen werde. Anders IX 122.

5. *τὰ λέγειν χρεών, quae diceret.*

8. Durch die Verluste bei Thermopylae und Plataeae (VII 222. IX 30) war die Bürgerzahl so stark vermindert, dafs die Stadt, um sich behaupten zu können, Zuwanderer (*ἔποικοι*) aufnehmen mufste. Dafs auch Sikinnos, trotz seiner unhellenischen Herkunft und seines unfreien Standes, das Bürgerrecht erhielt, verdankte er dem Einflusse seines Patrons.

11 ff. Aesch. Pers. 348 der Bote zu Atossa: *ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ Φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν. Ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ Ἐλθὼν ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε, ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας, Ἕλληνες οὐ μένοιεν, ἀλλὰ σέλμασιν Ναῶν ἐπενθορόντες ἄλλος ἄλλοσε Δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.*

12. *φρονέων τὰ βασιλέος*: zu II 162 27.

τιστήσονται ὑμῖν, πρὸς ἑωυτούς τέ σφεας ὄψεσθε ναυμαχέοντας τούς τε τὰ ὑμέτερα φρονέοντας καὶ τοὺς μή.“
76 ὁ μὲν ταῦτά σφι σημήνας ἐκποδὼν ἀπαλλάσσετο· τοῖσι δὲ ὡς πιστὰ ἐγίνετο τὰ ἀγγελθέντα, τοῦτο μὲν ἐς τὴν νησῖδα τὴν Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων ἀπεβίβασαν·
5 τοῦτο δέ, ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα, ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, κατεῖχόν τε μέχρι Μουνυχίης πάντα τὸν

76. Aesch. a. O. *ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον, Πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον· Εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα Λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ, Τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισὶν Ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους, Ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ, Ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν, Ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά, Πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.*

4. *πολλούς*: *ὅσον τετρακοσίους* sagt Paus. I 36 2. Nach Aesch. P. 436 waren es *Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς, Αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί.*

5ff. *ἀνῆγον*: bis dahin lag die Flotte am Strande von Phaleron (c. 67 4); die Mannschaft befand sich, nach damaliger Sitte, zu Rast am Lande. Jetzt ging man an Bord, und jede Abtheilung nahm den ihr angewiesenen Platz in der Schlachtordnung ein. Aesch. 369 *οἱ δ' οὐκ ἀκόσμως ἀλλὰ πειθάρχῳ φρενὶ Λεῖπνόν τ' ἐπορσύναντο, ναυβάτης τ' ἀνὴρ Τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον. Ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο Καὶ νὺξ ἐπῆει, πᾶς ἀνὴρ κώπης ἄναξ Ἐς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης, Τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς. Πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος.* — *τὸ ἀπ' ἑσπέρης κέρας* kann diejenige Abtheilung bezeichnen, welche in der bisherigen Anordnung auf der westl. Seite stand, aber auch diejenige, welche in der neuen den westl. Flügel bilden sollte. Und dies scheint allein richtig, einmal weil an der Küste von Phaleron wohl von einem nördl. und südl., nicht aber von einem westl. Flügel die Rede sein konnte, dagegen die neue zu besetzende Linie von Munychia bis zum Aegaleos entschieden nach Westen umbiegt; und dann weil gerade dieses Geschwader, das die Hellenen überflügeln sollte (*κυκλούμενοι*), c. 85 2 ebenfalls *τὸ πρὸς ἑσπέρης κέρας* genannt wird. Es waren die phoen. Schiffe, der Keru der Flotte. Sie fuhren in der Meerenge an der attischen Seite hinauf und nahmen dort, am Fufse des Aegaleos, Stellung, den Hellenen gegenüber und über sie nordwärts hinaus. — *οἱ-τεταγμένοι* ‘denen ihre Stellung bei Keos und Kynosura angewiesen war’. Die Bedeutung dieser Namen ist sehr unsicher. *Κυνόσουρα* (‘Hundschwanz’), ein lang gestrecktes Vgb. bei Marathon, kann hier nicht gemeint sein, so wenig wie die Insel *Κέως* (nicht *Κέος*).

πορθμὸν τῇσι νησί. τῶνδε δὲ εἵνεκεν ἀνῆγον τὰς νέας, ἵνα δὴ τοῖσι Ἕλλησι μὴ διαφυγεῖν ἐξῇ, ἀλλ' ἀπολαμφθέντες ἐν τῇ Σαλαμῖνι δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγωνισμάτων. ἐς δὲ τὴν νησῖδα τὴν Ψυττάλειαν καλεομένην ἀπεβίβαζον τῶν Περσέων τῶνδε εἵνεκεν, ὡς ἐπεὰν γένηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυηγίων (ἐν γὰρ δὴ πόρῳ ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἐκέετο ἡ νῆσος), ἵνα τοὺς μὲν περιποιέωσι τοὺς δὲ διαφθείρωσι. ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο οἱ ἐναντίοι.

Offenbar aber bezieht sich diese Lokalbestimmung auf die Weissagung c. 77 7, deren Bestätigung der gläubige Vf. zu erweisen bemüht ist (vgl. c. 96). Dort soll die Flotte eine Brücke bilden zwischen dem der Artemis heiligen Gestade und der meerumspülten Kynosura, und das erfüllen die Perser, in H.'s Augen, indem sie 'die ganze Enge bis Munychia mit ihren Schiffen besetzen'. Die *ἱερὸς ἀκτή* ist ihm Munychia mit dem berühmten Heiligthum der *Ἄρτεμις Μουνυχία*. Ohne jene Nebenrücksicht würde er nicht gerade diesen von der Enge abliegenden Punkt der attischen Küste als das eine Ende der Aufstellung genannt haben, sondern vielmehr den Peiraeus (c. 85 4). Die Kynosura ist demnach an der Westseite der Strafse, auf Salamis zu suchen und mag ein verschollener Name der langgestreckten Zunge gegenüber Psyttaleia sein, *Κέος* aber der gewöhnliche; daher vorangestellt und, als gleichbedeutend, durch *τε καί* verbunden (vgl. c. 43 7. 73 14).

10 f. Aeschylos, der Augenzeuge der Schlacht, läfst Pers. 365 zu diesem Zwecke noch ein drittes Geschwader absondern und um Salamis herum in die Bai von Eleusis segeln, um auch die nordwestl. Ausfahrt zu sperren. Es waren die 200 aegypt. Schiffe (Diod. XI 17. Plut. Them. 12, vgl. Her. VII 89 12). Bei H. bleibt dieser Umstand wohl nur zufällig unerwähnt; denn die Botschaft des Aristeides (c. 79. 81) konnte sich nur auf diese bei Aegina vorüberfahrende Abtheilung beziehen (Plut. Arist. 8). Ob dieselbe noch an der Schlacht theilnahm, ist wenigstens aus c. 100 27 nicht zu ersehen. Es war übrigens dasselbe Manöver wie bei Artemision (c. 7).

12 ff. Aesch. 442 *νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων Βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι. Ἐνταῦθα πέμπει τούσδ', ὅπως ὅταν νεῶν Φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο, Κτείνοιεν εὐχείρωτον Ἑλλήνων στρατόν, Φίλους δ' ὑπεκσώζοιεν ἁλίων πόρων.*

13. *ἀπεβίβαζον*: oben 4 *ἀπεβίβασαν*. Zu VII 123 5.

14 f. *ἐξοισομένων*: zu c. 49 12. — *ἀνδρῶν*, sc. *νεόντων* (c. 89). — *ναυηγίων* 'Wracke', die des Ruderwerks beraubt von Wind und Strömung auf den Strand getrieben würden (c. 96).

16. *ναυμαχίης*, für *ναυμαχεόντων*. Die Insel lag mitten in der Fahrstrafse, in der die Parteien

77 *Οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς οὐδὲν ἀποκοιμηθέντες παραρτέοντο· χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσ-*
5 *βλέψας.*

ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν
νησὶ γεφυρώσωσι καὶ εἰναλίην Κυνόσουραν,
ἐλπίδι μαινομένη λιπαρὰς πέρσαντες Ἀθήνας,
δῖα Δίκη σβέσσει κρατερὸν κόρον, ὕβριος υἱόν,
10 *δεινὸν μαιμώοντα, δοκεῦντ' ἂν ἅπαντα πιθέσθαι.*
χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης
πόντον φοινίξει. τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ
εὐρύοπα Κρονίδης ἐπάγει καὶ πότνια Νίκη.

ἐς τοιαῦτα μὲν .. καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀν-

anfeinander rückten. Vgl. das homer. *γέφυραι πολέμοιο.*

77. *οὐδὲν ἀποκοιμηθέντες*, ohne sich hinreichend (*ἀπο-*, vgl. II 40 14) durch Schlaf gestärkt zu haben.

2ff. Besonders in den ersten Zeiten des pelop. Krieges, da Gaukler und Demagogen das Volk durch angebliche alte Sebersprüche, meist unter dem Namen des Bakis (zu c. 20 2), anfregten und zu ihren Parteizwecken verführten (Thuk. II 8), und unter dem Einflusse der räsonnirenden Zeitstimmung, müssen bei der nüchternen Minderzahl Bedenken laut geworden sein gegen die noch allgemein geltende Glaubwürdigkeit der chresmodischen Spruchsammlungen, zumal in Athen, wo Aberglaube und Aufklärung damals im Kampfe lagen und selbst die sonst konservative Komödie das gleifsnerische Unwesen in lächerlichen Parodien geifselte (s. besonders Ar. Eq. 120 ff. 194 ff. 997 ff.). — *καταβάλλειν* 'umstofsen, widerlegen'. Die Sprüche sind bei dem Ausdrucke als bisher aufrecht d. h. in Glauben und Ansehen stehende vorausgesetzt.

6. Der Anfang *ἀλλ' ὅταν* (*ὁπόταν*, über dessen Ursprung zu I 47 13), war in Orakeln und Sehersprüchen häufig (vgl. I 55 6. III 57 14. VI 77 10); daher ihn auch die Parodien gern gebrauchen (z. B. Ar. Eq. 197. Av. 967. Lys. 770). — *χρυσάορος* heifst Artemis ihres goldenen Jagdgeräthes wegen. — *ἱερὸν ἀκτήν*, nach Hes. *Ἔργ.* 597. 805 (*Δημήτερος ἱερὸν ἀκτήν*, aber dort in der Bed. 'heilige Kornfrucht').

7. *νησὶ γεφυρώσωσι* konnte auch auf die Linie zwischen Kynosura und Brauron an der östl. Küste Attikas passen, die sich über die Bucht von Marathon wie eine Sehne über einen flachen Bogen spannt. Auch Brauron bildet eine *ἀκτή*, und war als Heiligthum der Artemis noch bekannter als Munychia. — *εἰναλίην*, ins Meer hinausgelegen.

9. *σβέσσει*: zu V 77 27. — *ὕβριος υἱόν*: Pind. Ol. XIII 10 *ὕβριν κόρου ματέρα θρασύμυθον.* Sonst umgekehrt; Solon Fr. 8 *τίκτει γὰρ κόρος ὕβριν ὅταν πολὺς ὄλβος ἕπηται*, Theogn. 153 *τίκτει τοι κόρος ὕβριν.*

14ff. *ἐς τοιαῦτα* weist sichtbar auf Z. 4 zurück; es mufs also

τιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω οὔτε παρ᾽ ἄλλων ἐνδέκομαι.

Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο ὠθισμὸς λόγων πολλός. ἤδεσαν δὲ οὔκω ὅτι σφέας περιεκυκλεῦντο τῇσι νησὶ οἱ βάρβαροι, ἀλλ᾽ ὥσπερ τῆς ἡμέρης ὤρεον αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι. συνεστηκότων δὲ τῶν στρατηγῶν ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος μὲν ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου· τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι καὶ δικαιότατον. οὗτος ὢν ἐπὶ τὸ συνέδριον ἐξεκαλέετο Θεμιστοκλέα, ἐόντα μὲν ἑωυτῷ οὐ

ἐσβλέψας od. ἰδὼν od. ä. hinter μέν ausgefallen sein. Dazu stand λέγοντι parallel (vgl. zu III 20 3). Ebenso ist τι hinter dem ersten οὔτε herzustellen. So dafs der Sinn der schwierigen Stelle dieser ist: 'indem ich nun dergleichen erwäge, wage ich, bei so augenscheinlich zutreffender Weissagung (οὕτω ἐναργέως λέγοντι), gegen Bakis keinerlei Einwand (ἀντιλογίης-τι) in Betreff seiner Sehersprüche weder zu erheben noch lasse ich solchen von Anderen zu'. Wegen *Βάκιδι ἀντιλογίης* vgl. VII 169 7.

78. *ὠθισμὸς λόγων*: zu III 76 10.

4. *κατὰ χώρην*: zu c. 73 3.

79. *συνεστηκότων*: zu I 208 1.

2 ff. Plut. Them. 11 *τοὺς πολίτας αἰσθόμενος ποθοῦντας Ἀριστείδην καὶ δεδιότας μὴ δι᾽ ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτὸν ἀνατρέψῃ τὰ πράγματα τῆς Ἑλλάδος (ἐξωστράκιστο γὰρ πρὸ τοῦ πολέμου καταστασιασθεὶς ὑπὸ Θεμιστοκλέους), γράφει ψήφισμα (Θεμ.) τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν ἐξεῖναι κατελθοῦσι πράττειν καὶ λέγειν τὰ βέλτιστα τῇ Ἑλλάδι μετὰ τῶν ἄλλων πολιτῶν*, Arist. 8 *τρίτῳ δ᾽ ἔτει Ξέρξου διὰ Θετταλίας καὶ Βοιωτίας ἐλαύνοντος ἐπὶ τὴν Ἀττικὴν λύσαντες τὸν νόμον ἐψηφίσαντο τοῖς μεθεστῶσι κάθοδον*. Er war also 482 in die Verbannung gegangen. Anders Corn. Nep. Ar. 1. — Das Psephisma über die Rückkehr war vermuthlich erst in den letzten Tagen gefafst; sonst wäre Ar. wohl schon früher ins Lager gekommen. — *νενόμικα, mihi persuasi.* Vgl. zu I 142 8. — *ἄριστον*, von Charakter. Der Rhodier Timokreon in seinem Schmähgedicht auf Themistokles (Fr. 1 Bergk): *ἀλλ᾽ εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνέεις Ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ᾽ Ἀριστείδαν ἐπαινέω Ἄνδρ᾽ ἱερᾶν ἀπ᾽ Ἀθανᾶν Ἐλθεῖν ἕνα λῷστον, ἐπεὶ Θεμιστοκλῆ᾽ ἤχθαρε Λατώ, Ψευστάν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἑόντ᾽ ἀργυρίοισι κυβαλικοῖσι πεισθεὶς οὐ κατᾶγεν Ἐς πατρίδ᾽ Ἰάλυσον κτλ.* — *δίκαιον*: Plut. Arist. 3 *τῶν εἰς Ἀμφιάραον ὑπ᾽ Αἰσχύλου πεποιημένων ἰαμβείων ἐν τῷ θεάτρῳ λεγομένων οὐ γὰρ δοκεῖν δίκαιος ἀλλ᾽ εἶναι θέλει, πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.*

5. *στὰς ἐπί*: zu III 46 2.

6 f. *μὲν-δέ*, statt *ἀλλὰ-οὐκ*. Vgl.

φίλον ἐχθρὸν δὲ τὰ μάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, ἐθέλων αὐτῷ συμμῖξαι. προακηκόεε δὲ ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμόν. ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε. „ἡμέας στασιάζειν χρεών ἐστι ἔν τε τῷ ἄλλῳ καιρῷ καὶ δὴ καὶ ἐν τῷδε περὶ τοῦ ὁκότερος ἡμέων πλέω ἀγαθὰ τὴν πατρίδα ἐργάσεται. λέγω δέ τοι ὅτι ἴσον ἐστὶ πολλά τε καὶ ὀλίγα λέγειν περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. ἐγὼ γὰρ αὐτόπτης τοι λέγω γενόμενος ὅτι νῦν οὐδ' ἢν ἐθέλωσι Κορίνθιοί τε καὶ αὐτὸς Εὐρυβιάδης οἷοί τε ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ τῶν πολεμίων κύκλῳ. ἀλλ' ἐσελθών σφι ταῦτα σήμηνον." ὁ δ' ἀμείβετο τοισίδε. „κάρτα τε χρηστὰ διακελεύεαι καὶ εὖ ἠγγειλας· τὰ γὰρ ἐγὼ ἐδεόμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων· ἔδεε γάρ, ὅτε οὐκ ἑκόντες ἤθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παραστήσασθαι. σὺ δὲ ἐπεί περ ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον. ἢν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν καὶ οὐ πείσω ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα. ἀλλά σφι σήμηνον αὐτὸς παρελθὼν ὡς ἔχει.

l 36 5. — *τὰ μάλιστα*: zu V 63 9.

8. *ἐκείνων*, mit Bezug auf *ἐχθρόν*, *superiora oblìviscens*.

14. *Ἴσον* 'einerlei', gleich unnütz. Vgl. zu II 3 15.

16. *αὐτόπτης* kann nur für die Aufstellung im Süden um Psyttaleia gelten; und wenn Ar. dann doch behauptet *περιεχόμεθα-κύκλῳ* und c. 80 12 Them. dies wiederholt mit *περιεχόμεθα πανταχόθεν*, so mufs er eine Sperrung der nordwestl. Ausfahrt voraussetzen, von der er aber nur wissen konnte, wenn er das die Insel umsegelnde Geschwader wahrgenommen hatte (s. zu c. 76 5). Nur diese feindliche Bewegung war den Hellenen verborgen geblieben; die Auffahrt der übrigen Flotte ihnen gegenüber, am Aegaleos und bei Keos, mufsten sie, bei der engen Fahrstrafse und der mondhellen Nacht — es war zwei Tage nach dem Vollmonde (vgl. Plut. mor. 350) — wahrgenommen haben.

19. *ἀλλά*: zu c. 62 5.

80. *χρηστὰ διακελεύεαι*, näml. *τῆς ἡμετέρης στάσιος πέρι*.

3. Vor *αὐτός* ist *ταῦτα* zu denken abh. von *αὐτόπτης γεν.* (= *ἰδών*). — *ἐξ ἐμέο* 'auf meinen Antrieb' (VI 2 9), se. *ποιεύμενα* od. *ἑόντα* (c. 140β 3.)

4. *ὅτε*: zu III 73 4.

6. *παραστήσασθαι* 'auf unsere Seite bringen, zu unserer Meinung

ἐπεὰν δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦτα δὴ τὰ 10
κάλλιστα, ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὁμοῖον ἡ-
μῖν ἔσται· οὐ γὰρ ἔτι διαδρήσονται, εἴ περ περιεχόμε-
θα πανταχόθεν, ὡς σὺ λέγεις.“ ταῦτα ἔλεγε παρελθὼν 81
ὁ Ἀριστείδης, φάμενος ἐξ Αἰγίνης τε ἥκειν καὶ μόγις
ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας· περιέχεσθαι γὰρ
πᾶν τὸ στρατόπεδον τὸ Ἑλληνικὸν ὑπὸ τῶν νεῶν τῶν
Ξέρξεω· παραρτέεσθαί τε συνεβούλευε ὡς ἀλεξησομέ- 5
νους. καὶ ὁ μὲν ταῦτα εἶπας μετεστήκεε, τῶν δὲ αὖτις
ἐγίνετο λόγων ἀμφισβασίη· οἱ γὰρ πλεῦνες τῶν στρα-
τηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα. ἀπιστεόντων δὲ 82
τούτων ἦκε τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς
ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε
τὴν ἀληθείην πᾶσαν. διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράφη-
σαν Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα ἐν τοῖσι τὸν 5
βάρβαρον κατελοῦσι. σὺν δὲ ὧν ταύτῃ τῇ νηὶ τῇ αὐ-
τομολησάσῃ ἐς Σαλαμῖνα καὶ τῇ πρότερον ἐπ᾽ Ἀρτεμί-
σιον τῇ Λημνίῃ ἐξεπληροῦτο τὸ ναυτικὸν τοῖσι Ἕλλησι
ἐς τὰς ὀγδώκοντα καὶ τριηκοσίας νέας· δύο γὰρ δὴ νεῶν
τότε κατέδεε ἐς τὸν ἀριθμόν. 10

Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν 83
Τηνίων [ῥήματα], παρεσκευάζοντο ὡς ναυμαχήσοντες.
ἠώς τε δὴ διέφαινε, καὶ οἱ σύλλογον τῶν ἐπιβατέων

hekehren'. Vgl. zu III 45 14.

81. *ταῦτα ἔλεγε*, für *ἔλεγε (δὴ) ταῦτα*. Zu c. 41 10.

3. *ἐκπλῶσαι*: Plut. Arist. 8 genauer *διεκπλεύσας*.

82. 5f. *τρίποδα*: s. IX 81 3. — *κατελοῦσι*: das Wort stand in der Inschrift. Thuk. I 132 *ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις ὅσαι συγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα*. Anfserdem waren sie auf der Basis des olymp. Zeus erwähnt (zu IX 81 6).

8. *τῇ Λημνίῃ*: s. c. 11 14.

9. *τάς*: ebenso steht III 67 4. VII 29 10. IX 30 8. 41 1 der Artikel bei abgerundeten vollen Zahlen, zu denen wie dem nächsten und bekannten Ziele die mangelhaften sich gleichsam strehen anszufüllen.

Schlacht bei Salamis (c. 83 bis 96).

83. *τὰ λεγόμενα — τῶν Τηνίων*: zu IV 32 5. *ῥήματα* hat Jemand zugeschrieben, der diesen Gebrauch des Genitivs nicht kannte.

3f. Aesch. Pers. 379 *καὶ νὺξ ἐχώρει, κοὐ μάλ᾽ Ἑλλήνων στρατὸς Κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο. Ἐπεὶ γεμέντοι λευκόπωλος ἡμέρα Πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν, Πρῶτον μὲν ἠχὴ κέλαδος Ἑλλήνων πάρα Μολπηδὸν*

ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θε-
5 μιστοκλέης, τὰ δὲ ἔπεα ἦν πάντα κρέσσω τοῖσι ἔσσοσι
ἀντιτιθέμενα, ὅσα δὴ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι
ἐγγίνεται. παραινέσας δὲ τούτων τὰ κρέσσω αἱρέεσθαι,
καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς
νέας. καὶ οὗτοι μὲν δὴ ἐσέβαινον, καὶ ἦκε ἡ ἀπ' Αἰ-
84 γίνης τριήρης, ἣ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε. ἐν-
θαῦτα ἀνῆγον τὰς νέας ἁπάσας οἱ Ἕλληνες, ἀναγομέ-
νοισι δέ σφι αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. οἱ μὲν δὴ

εὐφήμησεν, ὄρθιον δ' ἅμα Ἀντηλάλαξε νησιώτιδος πέτρας Ἠχώ. φόβος δὲ πᾶσι βαρβάροις παρῆν Γνωμῆς ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ Παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε, Ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει· σάλπιγξ δ' ἀυτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν.— Das vorangeschickte *οἱ-ποιησάμενοι* stellt eine Mehrzahl von Rednern in Aussicht; es wird aber nur der einzige Themistokles besprochen, die übrigen mit dem beilänfigen *ἐκ πάντων* kaum berührt, eben weil nach jenem nichts Erhebliches über sie zu sagen war. Vgl. zu c. 44 1. — *τῶν ἐπιβατέων*: zu c. 1 4. — *εὖ ἔχοντα* 'Treffliches'. — *ἐκ πάντων* 'vor Allen' (I 134 7).

5 ff. Die Rede war eine vollständig (*πάντα*) durchgeführte antithetische Aufzählung der Motive, die den Menschen, bei seiner eigenthümlichen Art und Verfassung (*ὅσα-ἐγγίνεται, quaecunque in hominis naturam ac conditionem cadunt*), in einer so entscheidenden Stunde zum tapferen Ausharren und rücksichtslosen Hingeben seines Lebens anspornen, von feiger Flucht zurückhalten können. Pries sie auf der einen Seite den Nachruhm der für das Vaterland ehrenvoll Gefallenen, den reichen Lohn der Ueberlebenden, berief sie sich auf die Liebe zu den bedrohten Angehörigen, die Theilnahme für die Mitbürger, die fromme Anhänglichkeit an den heimathlichen Boden und die angestammten Götter, entflammte sie den Rachedurst durch Erinnerung an die erlittenen Unbilden, ermunterte sie durch eine gewisse Hoffnung auf Sieg, reizte sie endlich durch Aussicht auf kostbare Beute: so malte sie anderseits die Schmach der Feigheit, das Elend eines unfreien in Armuth und Drangsal verkümmernden Lebens, das Jammerloos der Töchter und Knaben, die Noth der Freunde, die Verwüstung der Tempel und Gräber, Alles schlimmer, fliehenswerther als selbst ein rascher Tod im ruhmvollen Kampfe. (Vgl. besonders Tyrtaeos Fr. 10—12). — Aesch. 395 *ὁ πᾶς στόλος Ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν πολλὴν βοήν. ὦ παῖδες Ἑλλήνων, ἴτε, Ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ Παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη Θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.*

8. *καταπλέξας*: zu IV 205 1.

9. *καὶ ἦκε, cum venit.* Von *καί* zu V 28 2.

10. *Αἰακίδας*: zu c. 64 9.

84. Aesch. 391 *εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ Ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύματος, Θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν. Τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρας Ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος Ἐπεξεχώρει . .* (401) *καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος Ὑπηντίαζε, κοὐκ ἔτ' ἦν μέλλειν ἀκμή.*

ἄλλοι Ἕλληνες ἐπὶ πρύμνην ἀνέκρουόν τε καὶ ὤκελλον τὰς νέας, Ἀμεινίης δὲ Παλληνεὺς ἀνὴρ Ἀθηναῖος ἐξαναχθεὶς νηὶ ἐμβάλλει. συμπλακείσης δὲ τῆς νεὸς καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βοηθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι γενέσθαι τῆς ναυμαχίης τὴν ἀρχήν, Αἰγινῆται δὲ τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη, φανεῖσαν δὲ διακελεύσασθαι ὥστε καὶ ἅπαν ἀκοῦσαι τὸ τῶν Ἑλλήνων στρατόπεδον, ὀνειδίσασαν πρότερον τάδε, „ὦ δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρούσεσθε;“

Κατὰ μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες (οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας), κατὰ δὲ Λακεδαιμονίους Ἴωνες· οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. ἐθελοκάκεον μέντοι αὐτῶν κατὰ τὰς Θεμιστοκλέος ἐντολὰς ὀλίγοι, οἱ δὲ πλεῦ-

4f. 'Die übrigen Helleneu waren schon in Begriff ihre Schiffe rückwärts zu ruderu und auf den Strand laufen zu lassen'. ἐπὶ πρύμνην ἀνακρούειν τὰς νέας ist der vollere aber seltenere Ausdruck von diesem Schiffsmanöver. Vgl. Appian h. c. V 119 τὴν ναῦν κρούοντες ἐπὶ πρύμναν. Sonst wie Z. 15. — Παλληνεύς, aus dem Demos Pallene, über welchen zu I 62 14. Er soll des Aeschylos Bruder gewesen sein (Diod. XI 27. Aelian. v. h. V 19. Vit. Aeschyl.). Der Dichter selber, der von dem anfänglichen Zurückweichen nichts andeutet, berichtet 403: εὐθὺς δὲ ναῦς ἐν νηὶ χαλκήρη στόλον Ἔπαισεν· ἠρξε δ' ἐμβολῆς Ἑλληνικὴ Ναῦς κἀποθραύει πάντα Φοινίσσης νεὼς Κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ. — ἐξαναχθείς, sc. ἐκ τῆς τάξιος (vgl. IX 74 7).

6. συμπλακείσης: vgl. III 78 19.

8. Dazu stimmt im Wesentlicheu Aeschylos; denn die phoenik. Schiffe stauden den Athenern gegenüber (c. 85 1). — Vgl. zu c. 46 13.

12. καί: zu I 99 7.

14. μέχρι κόσου, quousque. Vgl. zu c. 3 9.

15. Schol. Thuk. I 50 πρύμναν ἀνακρούεσθαί ἐστι τὸ κατ' ὀλίγον ἀναχωρεῖν μὴ στρέψαντα τὸ πλοῖον. ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν ἵνα μὴ δόξωσι φανερῶς φεύγειν.

85. κατά, wie V 110 4. IX 27 36. 31 5 u. s.

2. ἑσπέρη, hier 'Nordwest'. Ebenso nachher ἠώς, 'Südost'. Vgl. zu VII 36 11. 176 13. Uebrigens zu c. 76 5. Den linken Flügel hatten die Athener auch in der Schlacht bei Plataeae als zweiten Ehrenplatz inne, sowie die Lakedaemonier den rechten (IX 26ff.) oder vielmehr bei ihrer geringen Stärke (c. 43 2) die äufserste Spitze des rechten Flügels.

5. τὰς Θ. ἐντολάς: s. c. 22.

νες οὔ. ἐχω μέν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι τῶν νέας Ἑλληνίδας ἑλόντων, χρήσομαι δὲ αὐτοῖσι οὐδὲν πλὴν Θεομήστορός τε τοῦ Ἀνδροδάμαντος καὶ Φυλάκου τοῦ Ἰστιαίου, Σαμίων ἀμφοτέρων. τοῦδε
10 *δὲ εἵνεκεν μέμνημαι τούτων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε καταστησάντων τῶν Περσέων, Φύλακος δὲ εὐεργέτης βασιλέος ἀνεγράφη καὶ χώρη οἱ ἐδωρήθη πολλή. οἱ δ' εὐεργέται*
86 *βασιλέος ὀροσάγγαι καλέονται περσιστί. περὶ μέν νυν τούτους οὕτω εἶχε. τὸ δὲ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο, αἱ μὲν ὑπ' Ἀθηναίων διαφθειρόμεναι αἱ δὲ ὑπ' Αἰγινητέων. ἅτε γὰρ τῶν μὲν Ἑλλήνων*

8. Die Ausnahme ist wohl aus des Vf.'s Aufenthalt und nähern Beziehungen zu Samos zu erklären. Gewifs standen dort die Beiden im schimpflichsten Andenken, obgleich Theomestor seinen Lohn kaum ein Jahr genossen hatte (s. IX 90 ff.).

12 ff. *εὐεργέτης-ἀνεγράφη*, eine in hellen. Staaten übliche Ehrenbezeugung gegen Ansländer; zu c. 136 9. Für die asiat. Monarchien aber hat der Ausdruck eine etwas andere Bedeutung (vgl. c. 90 21). Esther VI 1 'In selbiger Nacht floh den König der Schlaf, und er befahl das Gedächtnifsbuch der Zeitgeschichte zu bringen, und sie wurde gelesen vor dem Könige. Da fand sich geschrieben, dafs Mardachai' u. s. w. (vgl. II 23. X 2). — *ὀροσάγγαι* erklären Hesychios und Photios durch *σωματοφύλακες βασιλέως*, und in diesem Sinne gebrauchte es Sophokles (Fr. 185). *ὀρο-* ist wahrscheinlich = altpers. *var* 'bewahren', und *-σάγγης* = *khshâyata* 'König'. Nymphis Fr. 12 Müll. erklärte *ξένοι βασίλειοι*.

86. Eine eigentliche Geschichte dieser Schlacht, wie von denen bei Marathon Plataeae und Mykale, giht H. nicht und liefs sich vielleicht nicht gehen; sie scheint sich gleich anfangs in lauter Einzelkämpfe aufgelöst zu haben, die durchgängig zu Gunsten der Hellenen ausfielen. Ein anschauliches Bild der den ganzen Tag über währenden Kämpfe giebt Aesch. 407: *τὰ πρῶτα μέν νυν ῥεῦμα Περσικοῦ στρατοῦ Ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν Ἥθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν, Αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβολαῖς χαλκοστόμοις Πίπτοντ' ἔθραυον πάντα κωπήρη στόλον, Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως Κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ Σκάφη νεῶν, θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν, Ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν, Ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον, Φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο, Ὅσαιπερ ἦσαν βαρβάρου στρατεύματος. Τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθὺν βόλον Ἀγαῖσι κωπῶν θραύμασίν τ' ἐρειπίων Ἔπαιον, ἐρράχιζον, οἰμωγὴ δ' ὁμοῦ Κωκύμασιν κατεῖχε πέλαγίαν ἅλα, Ἕως κελαινὴς νυκτὸς ὄμμ' ἀφείλετο.*

3. *ἐκεραΐζετο*, durch Zerbrechen der Riemen und Steuer und Einrennen der Schiffswände. — *αἱ μέν*, im Kasus frei zu *πλῆθος* statt zu *νεῶν* gefügt, als stände *αἱ πολλαί*.

4. *Αἰγινητέων*, die, wie es

σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὔτε τεταγμένων ἔτι οὔτε σὺν νόῳ ποιεόντων οὐδέν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι οἷόν περ ἀπέβη. καίτοι ἦσαν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξεα, ἐδόκεέ τε ἕκαστος ἑωυτὸν θηήσεσθαι βασιλέα.

87 Κατὰ μὲν δὴ τοὺς ἄλλους οὐκ ἔχω [μετεξετέρους] εἰπαι ἀτρεκέως ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλέι. ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νεὸς Ἀττικῆς· καὶ ἣ οὐκ ἔχουσα διαφυγεῖν, ἔμπροσθε γὰρ αὐτῆς ἦσαν ἄλλαι νέες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα, ἔδοξέ οἱ τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε ποιησάσῃ· διωκομένη γὰρ

scheint, auf dem rechten Flügel standen (Diod. XI 18). Vgl. c. 91.

5. *σὺν κόσμῳ*, nach den Regeln der militärischen Kunst (*σὺν νόῳ* 6). Das bezieht sich auf die geschickte Führung der einzelnen Schiffe und die strenge Disziplin der Mannschaft, dagegen *κατὰ τάξιν* auf die verbundenen Manöver der Abtheilungen, wobei jedes Schiff die ihm angewiesene Stelle und Rolle ausfüllte. Vgl. IX 59 9. Bei dem Feinde anderseits fehlte alles Ineinandergreifen; die Kontingente kämpften jedes auf eigene Hand, ohne sich gegenseitig zu unterstützen, zum Theil mit offener Mifsgunst gegen einander (c. 90); und da an Stelle der heimischen Führer vornehme Perser das Kommando führten oder jenen vorgesetzt waren (VII 97 f.), so kamen nicht einmal die vorhandenen Kräfte und Erfahrungen zu unbehinderter Thätigkeit.

6. *ἔτι*, im Fortgang des Gefechts.

7. *ἔμελλε*: zu VII 23 11.

8. *ἐγένοντο* 'erwiesen sich'.

9. *αὐτοὶ ἑωυτῶν*: zu II 25 23, wo, wie hier durch *ἢ πρὸς Εὐβοίῃ*, der eigentliche Bezug der Komparation durch *ἢ τοῦ θέρεος* ausgedrückt wird, so dafs *αὐτὸς ἑωυτοῦ* als ein abundanter, durch die Geläufigkeit dieser Ausdrucksweise (zu I 193 17) miteingeflossener Zusatz erscheint.

10. Da *ἐδόκεέ τε...* ein drittes Motiv der braven Haltung enthält, so wäre *δοκέων τε* konzinner gewesen.

87. 4. *γάρ*: vgl. zu III 31 4.

8 f. *πρὸς-μάλιστα*, *quam proxime ab*. Vgl. c. 120 7 u. I 145 7. VII 216 6. — *ἔδοξέ οἱ*, nach *ἤ*; zu VII 177 4.

10. *συνήνεικε* 'gerieth zum Vortheile' (IX 37 25). Sonst noch mit einem das Resultat ausdrückenden Zusatze, wie c. 88 11. Vgl. zu VII 8α 7. Es wird hier nicht die glück-

ὑπὸ τῆς Ἀττικῆς φέρουσα ἐνέβαλε νηὶ φιλίῃ ἀνδρῶν τε Καλυνδέων καὶ αὐτοῦ ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλέος Λαμασιθύμου. εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέντοι ἔγωγε ἔχω εἰπαι οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρησαμένη διπλόα ἑωυτὴν ἀγαθὰ ἐργάσατο. ὅ τε γὰρ τῆς Ἀττικῆς νεὸς τριήραρχος ὡς εἶδέ μιν ἐμβάλλουσαν νηὶ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νέα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας πρὸς ἄλλας ἐτράπετο. τοῦτο μὲν τοιοῦτο αὐτῇ συνήνεικε γενέσθαι διαφυγεῖν τε καὶ μὴ ἀπολέσθαι, τοῦτο δὲ συνέβη ὥστε κακὸν ἐργασαμένην ἀπὸ τούτων αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. λέγεται γὰρ βασιλέα ϑηεύμενον μαθεῖν τὴν νέα ἐμβαλοῦσαν, καὶ δή τινα εἶπαι τῶν

liche Ausführung des kühnen Entschlusses, sondern die glückliche Doppelwirkung der vollbrachten That (ποιησάσῃ) ausgesprochen, worüber Z. 18 ff. — γάρ ist auch τόδε nur etwa so haltbar, dafs man seine Wirkung auf den begründenden Umstand διωκομένη ὑπὸ τῆς Ἀττικῆς (st. διώκετο γὰρ ὑπὸ τῆς Ἀττικῆς) beschränkt, τόδε ποιῆσαι aber erst durch φέρουσα ἐνέβαλε .. seine eigentliche Erklärung finden läfst.

11. φέρουσα: c. 91 7. IX 102 13 das Passiv.

12 f. Καλυνδέων: zu VII 99 11. — αὐτοῦ - Λαμασιθύμου ist ein absoluter Genitiv.

13 ff. εἰ μὲν καί 'wenn nun auch'. Der Vf. räumt, irgend einem anderen Geschichtschreiber gegenüber, ein dafs schon früher ein Zwist zwischen den Beiden möge stattgehabt haben; aber er mag nicht entscheiden, ob sie aus Vorbedacht und Rache oder nur zufällig gerade des Dam. Schiff niedergesegelt, und er kann darum auch nicht zulassen, dafs man aus jenem früheren Vorfalle einen ungünstigen Schlufs auf die Gesinnung der von ihm hochverehrten Frau mache.

16. Absichtlich ist das Zufällige des Zusammentreffens in dreifacher Wendung (συνεκύρησε-κατὰ τύχην-παραπεσοῦσα) betont.

18. τε: statt des entsprechenden Gliedes mit καί folgt c. 88 zuvor eine Epanalepsis dieses ersten Gliedes mit τοῦτο μέν, worauf dann das andere mit τοῦτο δέ eintritt.

19. τριήραρχος: es war der tapfere Ameinias (c. 93 4).

22. αὐτοῖσι, nicht ἑωυτοῖσι. H. gebraucht das Reflexiv mit Bezug auf das entferntere Subjekt (hier τριήραρχος) nur dann, wenn das nähere (hier τὴν νέα) nachfolgt.

88. 4. ϑηεύμενον: s. c. 90 20 ff.

5. μαθεῖν: zu VII 37 10.

παρεόντων „δέσποτα, ὁρᾷς Ἀρτεμισίην ὡς εὖ ἀγωνίζεται καὶ νέα τῶν πολεμίων κατέδυσε;“ καὶ τὸν ἐπείρεσθαι εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον, καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον τῆς νεὸς ἐπισταμένους· τὴν δὲ διαφθαρεῖσαν ἡπιστέατο εἶναι πολεμίην. τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα, καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νεὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξεα δὲ εἶπαι λέγεται πρὸς τὰ φραζόμενα „οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες.“ ταῦτα μὲν Ξέρξεά φασι εἶπαι.

89 Ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεός, ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ οὐνομαστοὶ Περσέων καὶ Μήδων καὶ τῶν ἄλλων συμμάχων, ὀλίγοι δέ τινες καὶ Ἑλλήνων· ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νέες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον. τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο· οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῇσι νηυσὶ παριέναι πειρεόμενοι ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέι, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον.

9f. τὸ ἐπίσημον, unten c. 92 10 τὸ σημήιον, die Figur (Gallion) am Schiffsbug (vgl. III 37 7). IX 74 12 'Schildzeichen'. — ἐπισταμένους 'kennend', aber gleich ἡπιστέατο 'glaubten' (I 3 4). Aehnlich stehen c. 22 ἐπιλέξασθαι, c. 121 ἐξελεῖν zweimal mit verschiedener Bedeutung.

14. τὰ φραζόμενα: zu I 9 8.

89. πόνῳ: zu VI 114 1.

2. Ἀριαβίγνης: s. VII 97 5. — ἀπὸ δέ: zu II 141 22.

6. καὶ μὴ - ἀπολλύμενοι, parallel zu dem relativen τοῖσι αἱ νέες διεφθείροντο, statt καὶ οἳ μὴ ἀπώλλυντο. — χειρῶν νόμος 'Handgemenge', von χεῖρα νέμειν (νωμᾶν) = χερὶ χρᾶσθαι (III 78 22. IX 72 10). Noch IX 48 8. Oefter ἐν χερσί. — Die Worte gelten von den Epibaten; woraus sich auch der Ausspruch νέειν οὐκ ἐπιστάμενοι (8) erklärt, der von der sonstigen Mannschaft genommen doch sehr auffällig wäre.

10. οἱ γὰρ ὄπισθε τεταγμένοι: sie waren nach Aeschylos ἐν στοίχοις τρισίν aufgestellt.

90 Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. τῶν τινες Φοινίκων, τῶν αἱ νέες διεφθάρατο, ἐλθόντες παρὰ βασιλέα διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νέες, ὡς προδόντων. συνήνεικε ὧν οὕτω ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβάλλοντας λαβεῖν τοιόνδε μισθόν. ἔτι τούτων ταῦτα λεγόντων ἐνέβαλε νηὶ Ἀττικῇ Σαμοθρηικίη νηῦς. ἥ τε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηίκων τὴν νέα. ἅτε δὲ ἐόντες ἀκοντισταὶ οἱ Σαμοθρήικες τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νεὸς βάλλοντες ἀπήραξαν καὶ ἐπέβησάν τε καὶ ἔσχον αὐτήν. ταῦτα γενόμενα τοὺς Ἴωνας ἐρρύσατο· ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας οἷα ὑπερλυπεόμενός τε καὶ πάντας αἰτιεόμενος, καί σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐτοὶ κακοὶ γενόμενοι τοὺς ἀμείνονας διαβάλλωσι. ὅκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σαλαμῖνος τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα, καὶ οἱ γραμματισταὶ ἀνέγραφον πατρόθεν τὸν

90. 4. *ὡς προδόντων*: vgl. zu c. 69 6.

8f. *κατεδύετο - κατέδυσε*: das Imperfekt charakterisirt den Vorgang nicht blofs nach Dauer und Erfolg als kaum abgeschlossen, sondern auch im Verhältnifs zu dem anderen (*κατέδυσε*), der den Mittel- und Hauptpunkt der Erzählung bildet, als nur vorbereitend und begleitend.

13. *Ἴωνας*: Samothrake war eine Ansiedlung der ionischen Samier.

16. Diod. XI 19 *ὁ δὲ βασιλεὺς παρ' ἐλπίδας ἠττημένος τῶν μὲν Φοινίκων τῶν ἀρξάντων τῆς φυγῆς τοὺς αἰτιωτάτους ἀπέκτεινε, τοῖς δ' ἄλλοις ἠπείλησεν ἐπιθήσειν τὴν προσήκουσαν τιμωρίαν. οἱ δὲ Φοίνικες φοβηθέντες τὰς ἀπειλὰς τὸ μὲν πρῶτον εἰς τὴν Ἀττικὴν κατέπλευσαν, τῆς δὲ νυκτὸς ἐπιγενομένης ἀπῆραν εἰς τὴν Ἀσίαν.* Vgl. jedoch IX 96 7.

20. Aesch. 460 *Ξέρξης δ' ἀνώμωξεν κακῶν ὁρῶν βάθος· ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ, Ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός.* Plut. Them. 13 *Ξέρξης μὲν ἄνω καθῆστο τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡρακλεῖον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος· ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος ὑπὲρ τῶν καλουμένων Κεράτων.*

21. *πατρόθεν*: zu VI 14 13.

τριήραρχον καὶ τὴν πόλιν. πρὸς δέ τι καὶ προσεβάλετο φίλος ἐὼν Ἀριαράμνης ἀνὴρ Πέρσης παρεὼν τούτου τοῦ Φοινικηίου πάθεος. οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο.

Τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων καὶ ἐκπλωόντων πρὸς τὸ Φάληρον Αἰγινῆται ὑποστάντες ἐν τῷ πορθμῷ ἔργα ἀπεδέξαντο λόγου ἄξια. οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράιζον τάς τε ἀντισταμένας καὶ τὰς φευγούσας τῶν νεῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλωούσας· ὅκως δέ τινες τοὺς Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας. ἐνθαῦτα συνεκύρεον νέες ἥ τε Θεμιστοκλέος διώκουσα νέα, καὶ ἡ Πολυκρίτου τοῦ Κριοῦ ἀνδρὸς Αἰγινήτεω νηὶ ἐμβαλοῦσα Σιδωνίῃ, ἥπερ εἷλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν Αἰγιναίην, ἐπ' ἧς ἔπλεε Πυθέης ὁ Ἰσχενόου, τὸν οἱ Πέρσαι κατακοπέντα ἀρετῆς εἵνεκεν εἶχον ἐν τῇ νηὶ ἐκπαγλεόμενοι· τὸν δὴ περιάγουσα ἅμα τοῖσι Πέρσῃσι ἦλω νηῦς ἡ Σιδωνίη, ὥστε Πυθέην οὕτω σωθῆναι ἐς Αἴγιναν. ὡς δὲ ἐσεῖδε τὴν νέα τὴν Ἀττικὴν ὁ Πολύκριτος, ἔγνω τὸ σημήιον ἰδὼν τῆς στρατηγίδος, καὶ βώσας τὸν Θεμιστοκλέα ἐπεκερτόμησε ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. ταῦτα μέν νυν νηὶ ἐμβαλὼν ὁ Πολύκριτος ἀπέρριψε ἐς Θεμιστοκλέα· οἱ δὲ βάρβαροι τῶν αἱ νέες

91 92

22 ff. τι καὶ προσεβάλετο-τούτου τοῦ Φ. πάθεος 'trug seinerseits auch etwas zum Schicksal der Ph. bei'. Nach ἐών wird Ἴωσι fehlen. — οἱ μὲν δή, die mit der Vollstreckung der Strafe Beauftragten.

91. ἐκπλωόντων, aus dem Sunde zwischen Salamis und dem Festlande.

2. ὑποστάντες 'sich in den Weg stellend', wie aus einem Hinterhalte. Vgl. ὑποστήσας V 92η 21. — ἐν τῷ πορθμῷ, zwischen der Insel Psyttaleia und Attika. Hier mögen sich auch die zwölf aegin. Reserveschiffe (zu c. 46 2) noch an der Schlacht betheiligt haben.

92. 3. Κριοῦ, von dem VI 50. 73 erzählt wurde.

4. ἐπὶ Σκιάθῳ: s. VII 179 ff.

11 f. Polykritos rief dem Themistokles ironisch höhnende Anspielungen auf (ἐπεκερτόμησε ἐς) den Medismos zu, um dessentwillen Athen sie noch vor wenigen Jahren verklagt und seinen eigenen Vater in Haft genommen hatte (VI 49 f. 73); aber nicht aus hinterer Necklust, sondern jenem zu kränkendem Vorwurf (ὀνειδίζων).

13. ἀπέρριψε: zu I 153 10.

περιεγένοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν.

93 Ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται, ἐπὶ δὲ Ἀθηναῖοι, ἀνδρῶν δὲ Πολύκριτός τε ὁ Αἰγινήτης καὶ Ἀθηναῖοι Εὐμένης τε ὁ Ἀναγυράσιος καὶ Ἀμεινίης Παλληνεύς, ὃς καὶ Ἀρτεμισίην ἐπεδίωξε. εἰ μέν νυν ἔμαθε ὅτι ἐν ταύτῃ πλώοι ἡ Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν ἢ καὶ αὐτὸς ἥλω. τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρακεκέλευστο, πρὸς δὲ καὶ ἆεθλον ἐκέετο μύριαι δραχμαί, ὃς ἄν μιν ζωὴν ἕλῃ· δεινὸν γάρ τι ἐποιεῦντο γυναῖκα ἐπὶ τὰς Ἀθήνας στρατεύεσθαι. αὕτη μὲν δή, ὡς πρότερον εἴρηται, διέφυγε· ἦσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νέες περιεγεγόνεσαν, ἐν τῷ Φαλήρῳ.

94 Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν λέγουσι Ἀθηναῖοι αὐτίκα κατ' ἀρχάς, ὡς συνέμισγον αἱ νέες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱστία ἀειράμενον οἴχεσθαι φεύγοντα, ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα φεύγουσαν ὡσαύτως οἴχεσθαι. ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ τὸ ἱρὸν Ἀθηναίης

14. *ὑπό*, unter den Schutz des am Gestade entlang aufgestellten Heeres. Vgl. IX 96 14.

93. 3. *Ἀναγυράσιος*, aus dem Demos *Ἀναγυροῦς* der erechtheischen Phyle, an der Westküste südl. vom Hymettos.

8. *ἐκέετο*, natürlich auch den Bundesgenossen. Daher eben die für solchen Fall seltsame Angabe des Preises in Drachmen statt eines oder zweier Talente. Nämlich 10000 attische Drachmen waren gerade ein schweres s. g. aeginaeisches Talent, das bei den Doriern in Geltung war (zu III 89 10); und ein solches setzten die Athener aus, nicht ihr eigenes um $\frac{2}{7}$ leichteres. Der Vf. aber hat es, des allgemeinen Verständnisses wegen, in die bekannte Münzsorte übersetzt. Thuk. V 63 *Λακεδαιμόνιοι - ἐβούλευον - ὡς χρὴ τήν τε οἰκίαν αὐτοῦ κατασκάψαι καὶ δέκα μυριάσι δραχμῶν ζημιῶσαι.*

9. *δεινόν τι ἐποιεῦντο*: zu I 127 2. V 33 9.

11f. Die Worte *ἦσαν - Φαλήρῳ* wiederholen noch einmal nach dieser episodischen Unterbrechung den c. 92 13ff. gesetzten Abschluſs, könnten aber füglich entbehrt werden.

94. War Adeimantos der Vater jenes Aristeas, der sich den Athenern im Anfange des pelop. Krieges als einen ihrer gefährlichsten Feinde erwies (vgl. zu VII 137 20), so ist die boshafte Anekdote erklärlich genug. Dazu kam ihr heftiger Haſs gegen Korinth überhaupt als die nächste Anstifterin des Krieges.

6. Das Heiligthum lag auf dem skiradischen Vgb., dem südl. Ausläufer der Insel, in der Nähe von

Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ, τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι· τῇ δὴ συμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα. ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν νεῶν, τοὺς ἀπὸ τοῦ κέλητος λέγειν τάδε. „Ἀδείμαντε, σὺ μὲν ἀποστρέψας τὰς νέας ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς Ἕλληνας· οἱ δὲ καὶ δὴ νικέουσι, ὅσον αὐτοὶ ἠρέοντο ἐπικρατῆσαι τῶν ἐχθρῶν.“ ταῦτα λεγόντων ἀπιστέειν γὰρ τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὅμηροι ἀποθνήσκειν, ἢν μὴ νικέοντες φαίνωνται οἱ Ἕλληνες. οὕτω δὴ ἀποστρέψαντα τὴν νέα αὐτόν τε καὶ τοὺς ἄλλους ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ στρατόπεδον. τούτους μὲν τοιαύτῃ φάτις ἔχει ὑπ' Ἀθηναίων, οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρέει δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς.

Alt-Salamis (Plut. Solon 9. mor. 870). Bekannter ist der gleichnamige Kult bei Phaleron, nach welchem das Fest *σκίρα* od. *σκιροφόρια* und der Monat *Σκιροφοριών* benannt sind. Aus der Lage jenes Tempels erkennt man zugleich die Richtung, welche die korinthische Flotte eingeschlagen haben sollte, nämlich südlich um Salamis herum, und schon dieser mit der Stellung der Feinde in den Sunden (c. 76 8. 79 17) unvereinliche Umstand zeugt gegen die ganze Erzählung.

7 f. *θείῃ πομπῇ*: zu I 62 25. — *τὸν - οὐδένα* 'als dessen Absender Niemand bekannt geworden'. — *οὔτε - εἰδόσι*: eig. *τῶν τε ἀπὸ τῆς στρατιῆς οὐδὲν εἰδόσι*. Denn die Negation in *οὔτε* betrifft blofs *τι - εἰδόσι*, 'ohne dafs sie etwas wufsten'. Vgl. zu I 33 2. — *ἀπό*: zu IV 54 1.

9. *τῇ δὴ - συμβάλλονται* 'woraus man eben folgert'. Zum Ausdruck vgl. I 68 16. III 68 6. VII 57 4. (Bei der Lesart *τῇδε δέ* wäre das *θεῖον* im Folgenden gesucht worden, und fiele *γάρ* auf, da wenigstens H. nach den ankündigenden Demonstrativen die Erklärung durchgängig asyndetisch folgen läfst.)

12 f. *καταπροδούς*: zu VII 139 11. — *καὶ δή* = *ἤδη*; zu IV 102 3.

16. *licere ipsos secum abducere obsidum loco morteque afficere.* Zu *οἷοί τε* s. zu I 129 9. III 28 7. VII 149 14.

18. *ἐπ' ἐργασμένοισι*: zu IV 164 11.

20 ff. *φάτις ἔχει*: zu VII 3 6. — Für die den Kor. günstige Ueberlieferung sprach vor Allem das Grabmal ihrer in der Schlacht Gefallenen mit der Inschrift des Simonides (Fr. 100): *ὦ ξεῖν' εὐυδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου, Νῦν δ' ἅμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς· Ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες Καὶ Μηδοὺς ἱερὰν Ἑλλάδα ῥυσάμεθα.* Dazu desselben Epikedeion auf dem Kenotaph zu Korinth (Fr. 101), und auf den Adeimantos (Fr. 103): *οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.*

95 Ἀριστείδης δὲ ὁ Λυσιμάχου ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ ὀλίγῳ τι πρότερον τούτων ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε· παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησῖδι ταύτῃ κατεφόνευσαν πάντας.

96 Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἑτοῖμοι ἦσαν ἐς ἄλλην ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλέα. τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ἄνεμος ζέφυρος ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠιόνα τὴν καλεομένην Κωλιάδα. ὥστε ἀποπλησθῆναι τὸν χρησμὸν τόν τε ἄλλον πάντα

95. 4 ff. Aesch. 449 (vgl. zu c. 76 12): *ὡς γὰρ θεὸς Ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης, Αὐθημερὸν φράξαντες εὐχάλκοις δέμας Ὅπλοισι ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ Κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν Ὅποι τράποιντο. πολλὰ μὲν γὰρ ἐκ χερῶν Πέτροισιν ἠράσσοντο, τοξικῆς τ' ἀπὸ Θώμιγγος ἰοὶ προσπίτνοντες ὤλλυσαν· τέλος δ' ἐφορμηθέντες ἓξ ἑνὸς ῥόθου Παίουσι, κρεοκοποῦσι δυστήνων μέλη, Ἕως ἁπάντων ἐξαπέφθειραν βίον.*

96. *διελέλυτο*, durch den Einbruch der Nacht (Aesch. 423).

3. *ἔτι ἐόντα*, noch nicht vom Westwind an die attische noch vom Feinde besetzte Küste getrieben (5).

5. *ἄνεμος ζέφυρος*: in dieser Folge auch VII 129 7 *ἄνεμον νότον*. Sonst regelmäfsig *ζέφυρος ἄνεμος*.

6. Zwanzig Stadien südlich von Phaleron springt die Küste in eine schmale Landzunge (j. *τρεῖς Πύργοι*) vor, wo ein Tempel der Aphrodite (*Κωλιάς*) und der Demeter stand (Steph. B.). 'Dies ist genau der Punkt der Küste, an welchem Strandung unvermeidlich war, wenn ein Wind ging, wie nach dem Zeugnifs des Herodot und Plutarch (Them. 14) der am Tage von Salamis. Diesen Ort nennt H. besonders, um daran die Erfüllung einer Versprechung des Atheners Lysistratos nachzuweisen; sicherlich waren aber auch verschiedene andere Punkte der nahen Küste, insbesondere der Halbinsel von Munychia, mit Wracks bedeckt'. Lenke att. Demen 45. 209 d. A. — *ἠιών* von einem Küstenvorsprunge auch VII 44 5. Steph. B. sagt *ἄκρα ἤτοι ἀκτή*.

7. Die Vulgata *ἀποπλῆσαι* war ganz unbrauchbar, weil, auch wenn man aus dem Vorhergehenden *ναυήγια ἀπηνειχθέντα* als Subjektsakkusativ supplirt, dieser doch sachlich nicht zu *τόν τε ἄλλον πάντα* pafst und für den eigentlichen Hauptsatz *καὶ - εἰρημένον* vollends beziehungslos ist. — Wenn auf *τὸν χρησμόν* unmittelbar folgte *τὸν κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸν εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τούτων Λυσιστρά-*

τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τούτων ἐν χρησμῷ Λυσιστράτῳ Ἀθηναίῳ ἀνδρὶ χρησμολόγῳ, τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας,

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρίξουσι.

τοῦτο δὲ ἔμελλε ἀπελάσαντος βασιλέος ἔσεσθαι.

Ξέρξης δὲ ὡς ἔμαθε τὸ γεγονὸς πάθος, δείσας μή τις τῶν Ἰώνων ὑποθῆται τοῖσι Ἕλλησι ἢ αὐτοὶ νοήσωσι πλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντες τὰς γεφύρας, καὶ ἀπολαμφθεὶς ἐν τῇ Εὐρώπῃ ἀπολέσθαι κινδυνεύσῃ, δρησμὸν ἐβούλευε. ἐθέλων δὲ μὴ ἐπίδηλος εἶναι μήτε

97

τῳ, so nähmen Gedanke und Satz ihren regelrechten Verlauf. Aber über dem Bestreben der Mantik möglichst überall zu ihrer Ehre zu verhelfen (c. 77) hat der Autor noch eine beiläufige Bestätigung der sonstigen diese Schlacht betreffenden Sehersprüche einfügen wollen; indem er aber mit der dem Hellenen in solchen Fällen geläufigen Formel τόν τε ἄλλον anknüpfte, mufste er nun die Sprüche des Bakis und Musaeos, die doch verschieden und mindestens zwei waren, in den Singular τόν τε ἄλλον πάντα τὸν-εἰρημένον befassen. Beseitigen liefse sich diese Schwierigkeit, wenn man καὶ Μουσαίῳ als interpolirt entfernte; dann enthielte τόν τε ἄλλον πάντα einen Rückweis auf c. 77. Dagegen ist weniger auffällig dafs H. im entsprechenden Gliede (καὶ δὴ καὶ . .) den Bezug auf τὸν χρησμόν nicht festhielt, sondern diesen Begriff mit τὸ εἰρημένον-ἐν χρησμῷ erneuerte.

11. χρησμολόγῳ: zu VII 6 12.

12. τὸ ἐλελήθεε, in seiner Bedeutung und Erfüllung. Niemand aufser dem Vf. habe erkannt dafs sich der Spruch auf die Schlacht von Salamis beziehe. Eine verwandte Bemerkung I 139 2.

13. Κωλιάδες γυναῖκες nimmt man gewöhnlich als die Einwohnerinnen des Ortes, und liest nach einer Konjektur φρύξουσι, was sich auf das ihnen obliegende Dörren der zum Haushalt nöthigen Gerste (vgl. φρυκτήριον) beziehen soll. Mir scheint Κωλιάδες γυναῖκες nur eine absichtlich dunkel gehaltene Andeutung für den Ort selber. Nämlich mit dem dortigen Kulte der Aphrodite war der von 'Gebärtsgöttinnen' (Γενετυλλίδες) verbunden, die auch Κωλιάδες hiefsen und von den attischen Frauen eifrig verehrt wurden (Ar. Thesm. 130 ὦ πότνιαι Γενετυλλίδες); ihr Fest hiefs Γενετυλλίδες od. Κωλιάδες (Luk. Amor. 42. Alkiphron III 11. Hesych. s. v.); ihre Idole standen bei dem der Hauptgöttin (Paus. I 1 5). — φρίξουσι, *horrebunt*, eig. die Landzunge, deren Uferränder von den hochaufgeschichteten Ruderreihen bedeckt sein wird.

14. ἀπελάσαντος, nach wenigen Tagen (c. 113 1). — ἔσεσθαι, als man die Holztrümmer ans Land zog und in Haufen zusammenlegte.

Xerxes denkt auf Rückzug. Persische Kourierpost. Stimmung in Susa (c. 97—99).

97. Diod. XI 19 διεφθάρησαν

τοῖσι Ἕλλησι μήτε τοῖσι ἑωυτοῦ, ἐς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν, γαυλούς τε Φοινικηίους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος, ἀρτέετό τε ἐς πόλεμον ὡς ναυμαχίην ἄλλην ποιησόμενος. ὁρέοντες δέ μιν πάντες οἱ ἄλλοι ταῦτα πρήσσοντα εὖ ἠπιστέατο ὡς ἐκ παντὸς νόου παρεσκεύασται μένων πολεμήσειν· Μαρδόνιον δ' οὐδὲν τούτων ἐλάνθανε ὡς μάλιστα ἔμπειρον ἐόντα τῆς ἐκείνου διανοίης.

98 Ταῦτά τε ἅμα Ξέρξης ἐποίεε, καὶ ἔπεμπε ἐς Πέρσας ἀγγελέοντα τὴν παρεοῦσάν σφι συμφορήν. τούτων δὲ τῶν ἀγγέλων ἔστι οὐδὲν ὅ τι θᾶσσον παραγίνεται θνητὸν ἐόν· οὕτω τοῖσι Πέρσῃσι ἐξεύρηται τοῦτο. λέγουσι γὰρ ὡς ὁσέων ἂν ἡμερέων ᾖ ἡ πᾶσα ὁδός, τοσοῦτοι ἵπποι τε καὶ ἄνδρες διεστᾶσι, κατὰ ἡμερησίην ὁδὸν ἑκάστην ἵππος τε καὶ ἀνὴρ τεταγμένος· τοὺς οὔτε νιφετός, οὐκ ὄμβρος, οὐ καῦμα, οὐ νὺξ ἔργει μὴ οὐ κατ-

ναῦς τῶν μὲν Ἑλλήνων τετταράκοντα, τῶν δὲ Περσῶν ὑπὲρ τὰς διακοσίας χωρὶς τῶν σὺν αὐτοῖς ἀνδράσι ληφθεισῶν.

6ff. Ktesias Pers. 26 und Strahon 395 lassen richtiger sowohl den Plon schon vor der Schlacht fassen als die Ausführung beginnen. Nach der Schlacht hotte die besiegte Flotte den Sund verlassen (c. 92f.), so dafs die Hellenen beide Küsten heherrsehten und ein derartiges Unternehmen ganz unmöglich machten. Anch begann gleich in der folgenden Nacht die Rückfahrt nach Asien (c. 107). — ἐς τὴν Σαλαμῖνα, se. πεζῇ ἐπ' αὐτὴν διαβῆναι διανοούμενος (Ktesias), onch wohl um die Feinde von dieser Seite gänzlich obzusperren. Der Damm sollte wohrscheinlich vom Herakleion (nördl. vom Peiraceus) nach dem Vgb. Keos hinüherlaufen. Die Schiffbrücke aus phoenik. Knuffahrern (γαυλούς, zu III 136 4) wor dazn eine Vorhereitung, um die Arbeit gleich auf der ganzen Linie zn heginnen und einen Durchbruch der Gegner zn verhüten.

10f. εὖ ἠπιστέατο: zu V 42 3. — ἐκ παντὸς νόου 'in vollem Ernste'.

12. ἐλάνθανε, wie es gemeint war; *gefiellt.*

98. 4. θνητὸν ἐόν, limitirende Bestimmung zu οὐδέν, 'wenigstens nichts unter den vergänglichen Wesen', Ggs. θεῖον. Vgl. I 216 πάντων τῶν θνητῶν τὸ τάχιστον (ἵππον), II 68 πάντων δὲ τῶν ἡμεῖς ἴδμεν θνητῶν τοῦτο (sc. κροκόδειλος) ἐξ ἐλαχίστου μέγιστον γίνεται. Xen. Kyr. VIII 6 18 φασί τινες θᾶττον τῶν γεράνων ταύτην τὴν πορείαν ἀνύτειν. εἰ δὲ τοῦτο ψεύδονται, ἀλλ' ὅτι γε τῶν ἀνθρωπίνων πεζῇ (opp. κατὰ θάλατταν) πορειῶν αὕτη ταχίστη, wo ἀνθρώπινα beschrönkter ist als θνητά. — οὕτω, *adeo sollerter.* Aehnlich IV 200 τοῦτο μὲν δὴ οὕτω ἐξευρέθη. Vgl. zu V 103 5 und wegen des Asyndeton zu III 85 11.

8. οὐκ st. οὔτε ist lebhafter, energischer. Besonders die tragischen

ανύσαι τὸν προκείμενον ἑωυτῷ δρόμον τὴν ταχίστην. ὁ μὲν δὴ πρῶτος δραμὼν παραδιδοῖ τὰ ἐντεταλμένα τῷ δευτέρῳ, ὁ δὲ δεύτερος τῷ τρίτῳ· τὸ δὲ ἐνθεῦτεν ἤδη κατ' ἄλλον καὶ ἄλλον διεξέρχεται παραδιδόμενα, κατά περ Ἕλλησι ἡ λαμπαδηφορίη τὴν τῷ Ἡφαίστῳ ἐπιτελέουσι. τοῦτο τὸ δράμημα τῶν ἵππων καλέουσι Πέρσαι ἀγγαρήιον. ἡ μὲν δὴ πρώτη ἐς Σοῦσα ἀγγελίη ἀπικομένη, ὡς ἔχοι Ἀθήνας Ξέρξης, ἔτερψε οὕτω δή τι Περσέων τοὺς ὑπολειφθέντας ὡς τάς τε ὁδοὺς μυρσίνῃ πάσας ἐστόρεσαν καὶ ἐθυμίεον θυμιήματα καὶ αὐτοὶ ἦσαν ἐν θυσίῃσί τε καὶ εὐπαθείῃσι· ἡ δὲ δευτέρη σφι ἀγγελίη

Dichter bedienen sich dieser Figur, um dem nachfolgenden Begriffe eine effektvoll gesteigerte Betonung zu geben. Aesch. Ch. 289 *καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος Εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός.* Soph. O. K. 972 *ὃς οὔτε βλάστας πω γενεθλίους πατρός, Οὐ μητρὸς εἶχεν.* Eur. Or. 1036 *μήθ' αἱμά μου δέξαιτο κάρπιμον πέδον, Μὴ λαμπρὸς αἰθήρ.* H. nur hier; vgl. aber I 71 16. 132 4. 133 12.

9. *ἑωυτῷ*, dem jedesmaligen Reiter.

12 f. *κατά περ Ἕλλησι ἡ λαμπαδηφορίη*, frei angeschlossen; denn das fortgeltende *διεξέρχεται παραδιδόμενα* erforderte als verglichenes Subjekt *ἡ λαμπάς*. — Fackelläufe (*λαμπάδες, λαμπαδηδρομίαι, λαμπαδοῦχοι ἀγῶνες*) veranstaltete man besonders solchen Gottheiten, deren Wesen und Wirkung mit Licht und Feuer zusammenhing; in Athen dem Hephaestos, dem Prometheus, der Athene, der thrakischen Bendis als Mondgöttin und endlich dem Pan (VI 105 14). In dem dabei stattfindenden Wettkampf galt es entweder, wie bei den athen. Prometheen, eine Fackel noch brennend zuerst ans Ziel zu bringen (Paus. I 30 2) oder es waren, wie hier angedeutet wird, die Läufer gruppenweise in gewissen Entfernungen aufgestellt, und es galt die übernommenen Fackeln im schnellsten Lauf und ohne sie erlöschen zu lassen den nächsten Läufern zu überreichen. Zu Sokrates' Zeit begann man diese letztere Art an den Bendideen auszuführen; Plat. resp. 328 *λαμπάδα ἔχοντες διαδώσουσιν ἀλλήλοις ἀμιλλώμενοι τοῖς ἵπποις.*

14. *ἀγγαρήιον*: zu III 126 12. Der Stationsreiter hiefs *ἄγγαρος* od. *ἀστάνδης*, die Station *ἄγγαρον* (Bekk. Anekd. 212. 325). Das Wort war seit den Perserkriegen so bekannt, dafs Aesch. Ag. 267 von Feuersignalen sagen konnte *φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς Ἔπεμπεν.* — Esther VIII 10 'und schrieb im Namen des Königs Ahasveros und untersiegelte mit dem Ringe des Königs und sandte Briefe durch die Läufer auf den Pferden, reitend auf den Rennern, den Maulthieren, den Söhnen der Stuten'.

99. 5. *θυσίῃσι* 'Festschmäuse', darf nicht anstofsen; denn wenn auch *ἐν θυσίῃσι εἶναι* nicht belegt ist, so ist doch diese Verbindung nicht minder zulässig als die öftere *ἐν εὐπαθείῃσι εἶναι* (I 22 4. 191 30); vgl. III 27 4 *ἦσαν ἐν θαλίῃσι.*

ἐπεξελθοῦσα συνέχεε οὕτω ὥστε τοὺς κιθῶνας κατερρήξαντο πάντες, βοῇ τε καὶ οἰμωγῇ ἐχρέοντο ἁπλέτῳ, Μαρδόνιον ἐν αἰτίῃ τιθέντες. οὐκ οὕτω δὲ περὶ τῶν νεῶν ἀχθόμενοι ταῦτα οἱ Πέρσαι ἐποίευν ὡς περὶ αὐτῷ Ξέρξῃ δειμαίνοντες.

100 Καὶ περὶ Πέρσας μὲν ἦν ταῦτα τὸν πάντα μεταξὺ χρόνον γινόμενον, μέχρι οὗ Ξέρξης αὐτός σφεας ἀπικόμενος ἔπαυσε· Μαρδόνιος δὲ ὁρέων μὲν Ξέρξεα συμφορὴν μεγάλην ἐκ τῆς ναυμαχίης ποιεύμενον, ὑποπτεύων δὲ αὐτὸν δρησμὸν βουλεύειν ἐκ τῶν Ἀθηνέων, φροντίσας πρὸς ἑωυτὸν ὡς δώσει δίκην ἀναγνώσας βασιλέα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, καὶ οἱ κρέσσον εἴη ἀνακινδυνεῦσαι ἢ κατεργάσασθαι τὴν Ἑλλάδα ἢ αὐτὸν καλῶς τελευτῆσαι τὸν βίον ὑπὲρ μεγάλων αἰωρηθέντα· πλέον μέντοι ἔφερέ οἱ ἡ γνώμη κατεργάσασθαι τὴν Ἑλλάδα· λογισάμενος ὧν ταῦτα προσέφερε τὸν λόγον τόνδε. „δέσποτα, μήτε λυπέο μήτε συμφορὴν μηδεμίαν μεγάλην ποιεῦ τοῦδε τοῦ γεγονότος εἵνεκεν πρήγματος. οὐ γὰρ ξύλων ἀγὼν ὁ τὸ πᾶν φέρων ἐστὶ ἡμῖν, ἀλλ' ἀνδρῶν τε καὶ ἵππων. σοὶ δὲ οὔτε τις τούτων

6. *συνέχεε*, Aorist wie *ἔτερψε*, = *ἐξέπληξε*, *perturbavit*, 'verstörte, erschütterte', nahm die Fassung und Klarheit. Il. *ι* 612 *μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων*, *ν* 808 *ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν*. — Aesch. P. 530 der Chor (*ὦ Ζεῦ*) *ἄστυ τὸ Σούσων ἠδ' Ἐκβατάνων Πένθει δνοφερῷ κατέκρυψας. πολλαὶ δ' ἀταλαῖς χερσὶ καλύπτρας Μαῖαι γονάδες κατερεικόμεναι Λιαμυδαλέους δάκρυσι κόλπους Τέγγουσ', ἄλγους μετέχουσαι. Αἱ δ' ἀβρογόοι Περσίδες ἀνδρῶν Ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν, Λέκτρων τ' εὐνὰς ἀβροχίτωνας, Χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι, Πενθοῦσι γόοις ἀκορέστοις.*

7. Das Asyodeton an dieser Stelle ist ohne jede Analogie. Ich vermothe daher *τούς τε κιθῶνας-καὶ βοῇ*. Vgl. III 66 3. VI 58 17. IX 24 4. Der zu VI 41 7 berührte Fall liegt anders.

8. *ἐν αἰτίῃ τιθέντες* = *ἐν αἰτίῃ ἔχοντες* (V 106 11), *αἰτιεόμενοι*.

Rath des Mardonios und der Artemisia (c. 100—102).

100. 4. *συμφορὴν - ποιεύμενον*: zu V 5 9.

7 f. *ἀνακινδυνεῦσαι*: zu c. 68$^{\alpha}$ 9. Mit dem Infinitiv, wie sonst das Simplex (c. 65 20. 97 4). — *κατεργάσασθαι*: zu I 201 1.

9. *μεγάλων*, die Eroberung von Hellas. — *αἰωρηθέντα*, *suspensum*, zwischen Sieg und Untergang. Also *inito pro magna re discrimine*.

10. *πλέον ἔφερέ οἱ ἡ γνώμη*, *potius eo inclinabat spes*. Vgl. zu III 77 2.

14. *ὁ πᾶν φέρων*: zu c. 62 4.

τῶν τὸ πᾶν σφίσι ἤδη δοκεόντων κατεργάσθαι ἀποβὰς ἀπὸ τῶν νεῶν πειρήσεται ἀντιωθῆναι, οὔτ' ἐκ τῆς ἠπείρου τῆσδε· οἵ τε ἡμῖν ἠντιώθησαν, ἔδοσαν δίκας. εἰ μέν νυν δοκέει, αὐτίκα πειρεώμεθα τῆς Πελοποννήσου· εἰ δὲ καὶ δοκέει ἐπισχεῖν, παρέχει ποιέειν ταῦτα. μηδὲ δυσθύμεε· οὐ γὰρ ἔστι Ἕλλησι οὐδεμία ἔκδυσις μὴ οὐ δόντας λόγον τῶν ἐποίησαν νῦν τε καὶ πρότερον εἶναι σοὺς δούλους. μάλιστα μέν νυν ταῦτα ποίεε· εἰ δ' ἄρα τοι βεβούλευται αὐτὸν ἀπελαύνοντα ἀπάγειν τὴν στρατιήν, ἄλλην ἔχω καὶ ἐκ τῶνδε βουλήν. σὺ Πέρσας, βασιλεῦ, μὴ ποιήσῃς καταγελάστους γενέσθαι Ἕλλησι· οὐδὲν γὰρ ἐν τοῖσι Πέρσῃσι δεδήληται τῶν πρηγμάτων, οὐδ' ἐρέεις ὅκου ἐγενόμεθα ἄνδρες κακοί. εἰ δὲ Φοίνικές τε καὶ Αἰγύπτιοι καὶ Κύπριοί τε καὶ Κίλικες κακοὶ ἐγένοντο, οὐδὲν πρὸς Πέρσας τοῦτο προσήκει τὸ πάθος. ἤδη ὦν ἐπειδὴ οὐ Πέρσαι τοι αἴτιοί εἰσι, ἐμοὶ πείθεο. εἴ τοι δέδοκται μὴ παραμένειν, σὺ μὲν ἐς ἦθεα τὰ σεωυτοῦ ἀπέλαυνε τῆς στρατιῆς ἀπάγων τὸ πολλόν, ἐμὲ δέ σοι χρὴ τὴν Ἑλλάδα παρασχεῖν δεδουλωμένην, τριήκοντα μυριάδας τοῦ στρατοῦ ἀπολεξάμενον." ταῦτα ἀκούσας Ξέρξης ὡς ἐκ κακῶν ἐχάρη τε καὶ ἥσθη, πρὸς Μαρδόνιόν τε βουλευσάμενος ἔφη ὑποκρινέεσθαι ὁκότερον ποιήσει τούτων. ὡς δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπικλήτοισι, ἔδοξέ οἱ καὶ Ἀρτεμισίην ἐς συμβουλίην μεταπέμψασθαι, ὅτι πρότερον ἐφαίνετο μούνη νοέουσα τὰ ποιητέα ἦν. ὡς δὲ ἀπίκετο ἡ Ἀρτεμισίη, μεταστησάμενος τοὺς ἄλλους, τούς τε συμβούλους Περσέων καὶ τοὺς δορυφόρους, ἔλεξε Ξέρξης τάδε. „κελεύει με Μαρδόνιος μένοντα αὐτοῦ πειρᾶσθαι τῆς Πε-

25. ἐκ τῶνδε, einen 'diesem entsprechenden' Rath.

32. ἦθεα: zu II 142 15.

101. 2. ὡς setzt die Freude in ein relatives Verhältnifs zu den κακά: seine Stimmung war, verglichen mit dem erfahrenen Unglück und soweit sie es danach sein konnte, eine freudige. Thuk. VII 42 τῷ δὲ προτέρῳ στρατεύματι τῶν Ἀθηναίων ὡς ἐκ κακῶν ῥώμη τις ἐγεγένητο. — ἐχάρη τε καὶ ἥσθη: vgl. zu V 4 9.

5. τοῖσι ἐπικλήτοισι: zu VII 8 3.

λοπονnήσου, λέγων ὡς μοι Πέρσαι τε καὶ ὁ πεζὸς στρατὸς οὐδενὸς μεταίτιοι πάθεός εἰσι, ἀλλὰ βουλομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις. ἐμὲ ὦν ἢ ταῦτα κελεύει ποιέειν, ἢ αὐτὸς ἐθέλει τριήκοντα μυριάδας ἀπολεξάμενος τοῦ στρατοῦ παρασχεῖν μοι τὴν Ἑλλάδα δεδουλωμένην, αὐτὸν δ' ἐμὲ κελεύει ἀπελαύνειν σὺν τῷ λοιπῷ στρατῷ ἐς ἥθεα τὰ ἐμά. σὺ ὦν ἐμοί, καὶ γὰρ περὶ τῆς ναυμαχίης εὖ συνεβούλευσας τῆς γενομένης οὐκ ἐῶσα ποιέεσθαι, νῦν ἄγε συμβούλευσον ὁκότερα ποιέων ἐπιτύχω εὖ
102 βουλευσάμενος." ὁ μὲν ταῦτα συνεβουλεύετο, ἡ δὲ λέγει τάδε. „βασιλεῦ, χαλεπὸν μέν ἐστι συμβουλευομένῳ τυχεῖν τὰ ἄριστα εἰπασαν, ἐπὶ μέντοι τοῖσι κατήκουσι πρήγμασι δοκέει μοι αὐτὸν μέν σε ἀπελαύνειν ὀπίσω, Μαρδόνιον δέ, εἰ ἐθέλει τε καὶ ὑποδέκεται ταῦτα ποιήσειν, αὐτοῦ καταλιπεῖν σὺν τοῖσι ἐθέλει. τοῦτο μὲν γάρ, ἢν καταστρέψηται τά φησι ἐθέλειν καί οἱ προχωρήσῃ τὰ νοέων λέγει, σὸν τὸ ἔργον ὦ δέσποτα γίνεται· οἱ γὰρ σοὶ δοῦλοι κατεργάσαντο· τοῦτο δέ, ἢν τὰ ἐναντία τῆς Μαρδονίου γνώμης γένηται, οὐδεμία συμφορὴ μεγάλη ἔσται σέο τε περιεόντος καὶ ἐκείνων τῶν πρηγμάτων [περὶ οἶκον τὸν σόν]. ἢν γὰρ σύ τε περιῇς καὶ οἶκος

13. *ἀπόδεξις*, ihrer Unschuld. 'Eine Gelegenheit es zu beweisen käme ihnen erwünscht'.

14. 'Rathe mir nun ob ich dies oder jenes thun soll um gut berathen zu sein'. Der Satz war ursprünglich und vollständig so gedacht: *ὁκότερα ποιέω* (Konj.) *ὥστε ἐπιτυχεῖν εὖ βουλευσάμενος*, und bei der in solchen Fällen üblichen Verkürzung (*τί ποιέων ἐπιτεύξομαι* 'was muſs ich thun um . . .?) ist der deliberative Konjunktiv seltsamer Weise auf das den Zweck und die Wirkung enthaltende Verbum übergegangen. Sinngerechter wäre *ἐπιτύχοιμι ἄν*. — *ἐπιτυγχάνειν* hier u. c. 103 2 in der Konstruktion des Simplex mit dem Partizip (c. 102 3). Die Präposition bringt den Begriff des glücklichen Treffens und Gelingens mit hinein. — Zu *νῦν ἄγε* im Nachsatze vgl. IX 87 5.

102. 3. *κατήκουσι*: zu I 97.

6. *ἐθέλει*, sc. *καταλείπεσθαι*.

8. *νοέων*: zu VII 8^{α} 17. — *σὸν τὸ ἔργον*, verschieden von *σὸν ἔργον* (zu V 1 17).

11 f. *ἐκείνων τῶν πρηγμάτων* 'die dortige Macht', näml. die in Asien, wohin Xerxes zurückkehren soll; möchte auch die in Europa zu lassende verloren gehen. Die ungefügen Worte *περὶ οἶκον τὸν σόν* hat Jemand zugeschrieben, der die im fg. Satze eintretende Antithese *σὺ-οἶκος* schon in diesem zu finden meinte und bemerkbar machen wollte.

ὁ σός, πολλοὺς πολλάκις ἀγῶνας δραμέονται περὶ σφέων αὐτῶν οἱ Ἕλληνες. Μαρδονίου δέ, ἤν τι πάθῃ, λόγος οὐδεὶς γίνεται· οὐδέ τι νικέοντες οἱ Ἕλληνες νικέουσι, δοῦλον σὸν ἀπολέσαντες. σὺ δέ, τῶν εἵνεκεν τὸν στόλον ἐποιήσαο, πυρώσας τὰς Ἀθήνας ἀπελᾷς.“

Ἥσθη τε δὴ τῇ συμβουλίῃ Ξέρξης· λέγουσα γὰρ 103
ἐπετύγχανε τά περ αὐτὸς ἐνόεε. οὐδὲ γὰρ εἰ πάντες καὶ πᾶσαι συνεβούλευον αὐτῷ μένειν, ἔμενε ἂν δοκέειν ἐμοί· οὕτω καταρρωδήκεε. ἐπαινέσας δὲ τὴν Ἀρτεμισίην ταύτην μὲν ἀποστέλλει ἄγουσαν αὐτοῦ τοὺς παῖδας ἐς Ἔφεσον· νόθοι γάρ τινες παῖδές οἱ συνείποντο. συνέπεμπε δὲ τοῖσι παισὶ φύλακον Ἑρμότιμον, γένος μὲν ἐόντα Πηδασέα, φερόμενον δὲ οὐ τὰ δεύτερα τῶν εὐνούχων παρὰ βασιλέι. [οἱ δὲ Πηδασέες οἰκέουσι ὑπὲρ Ἁλικαρνησσοῦ. ἐν δὲ τοῖσι 104

13. *ἀγῶνας δραμέονται*: zu V 22 10. VII 57 6.

15. *οὐδέ τι-νικέουσι* ‘und selbst wenn die Hellenen siegen, ist ihr Sieg kein Sieg’.

17. *πυρώσας*: zu VII 8β 9.

Beiläufiges von Hermotimos und seiner Rache (c. 103 bis 106).

103. 2. Wahrscheinlich *πάντες τε καὶ πᾶσαι*, wie II 35 20. Zu V 2 6.

5. Konstr. *ἀποστέλλει μὲν ταύτην*, womit nachher *συνέπεμπε* (=*συναπέστελλε*) *δέ* korrespondirt. Aehnlich c. 128 10 *ἐπάιστος δὲ ἐγένετο* st. *ἐγένετο δὲ ἐπάιστος*. Vgl. zu c. 22 6. — *αὐτοῦ*, nicht *τοὺς ἑωυτοῦ παῖδας*, weil *Ἀρτεμισίην-ἄγουσαν*, obgleich nur Objekt und deshalb ohne berechtigten Einfluſs auf die Wahl des Pronomen, doch im Verhältniſs zu *παῖδας* zugleich die Funktion eines näheren Subjektes übt, für welchen Fall H. die Bezüge des entfernteren Subjektes (*Ξέρξης*) durch das Demonstrativ auszudrücken vorzieht (vgl. zu c. 87 22). — *τούς*: vgl. zu V 35 7. — *ἐς Ἔφεσον*: vgl. V 54 5.

6. *νόθοι*, Söhne von Nebenfrauen. H. nennt sonst nur seine erste und rechtmäſsige Frau, die Amestris.

8. *φέρεσθαι τὰ πρῶτα, τὰ δεύτερα* (*τὰ πρωτεῖα, τὰ δευτερεῖα*), den Kampfspielen entlehnter Ausdruck (Il. *ψ* 537 *οἱ δῶμεν ἀέθλιον ὡς ἐπιεικές, Διόμηδες· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός*), um Rang und Stelle zu bezeichnen, die Jemand einnimmt. *φερόμενος οὐ τὰ δεύτερα* ist also an Werth = *πρῶτος ἐών* (vgl. c. 105 *ἐτιμήθη μάλιστα*) oder doch *οὐδενὸς δευτέρος*, woran sich der partitive Genitiv fügt, wie I 23 *κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον*.

104. Die Notiz steht schon I 175, zum Theil mit denselben Worten, aber dort besser in den Zusammenhang passend. Ein Leser späterer Zeit hat sie *animi causa* am Rande seines Exemplares wiederholt, von wo sie der Stifter der überlieferten Rezension in den Text nahm und durch die Worte *ἐκ τούτων-ἦν* (c. 105) darein verwebte. Strabo 611 scheint sie hier noch nicht gelesen zu haben. Der Ausdruck ist theilweise herodoteisch, verräth aber in

Πηδάσοισι τούτοισι τοιόνδε συμφέρεται πρῆγμα γίνεσθαι· ἐπεὰν τοῖσι ἀμφικτίοσι πᾶσι τοῖσι ἀμφὶ ταύτης οἰκέουσι τῆς πόλιος μέλλῃ τι ἐντὸς χρόνου ἔσεσθαι χαλεπόν, τότε ἡ ἱρείη αὐτόθι τῆς Ἀθηναίης φύει πώγωνα μέγαν. τοῦτο δέ σφι δὶς ἤδη ἐγένετο. ἐκ τούτων δὴ τῶν Πηδασέων ὁ Ἑρμότιμος ἦν,] τῷ μεγίστῃ τίσις ἤδη ἀδικηθέντι ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν. ἁλόντα γὰρ αὐτὸν ὑπὸ πολεμίων καὶ πωλεόμενον ὠνέεται Πανιώνιος ἀνὴρ Χῖος, ὃς τὴν ζόην κατεστήσατο ἀπ' ἔργων ἀνοσιωτάτων. ὅκως γὰρ κτήσαιτο παῖδας εἴδεος ἐπαμμένους, ἐκτάμνων ἀγινέων ἐπώλεε ἐς Σάρδις τε καὶ Ἔφεσον χρημάτων μεγάλων· παρὰ γὰρ τοῖσι βαρβάροισι τιμιώτεροί εἰσι οἱ εὐνοῦχοι πίστιος εἵνεκεν τῆς πάσης τῶν ἐνορχίων. ἄλλους τε δὴ ὁ Πανιώνιος ἐξέταμε πολ-

anderen ungewöhnlichen oder unkorrekten und unsicheren Wendungen eine halbgelehrte Spielerei. — *συμφέρεται*: vgl. zu I 19 2. II 111 4. — *τοῖσι ἀμφικτίοσι*: I 175 genauer *αὐτοῖσί τε καὶ τοῖσι περιοίκοισι*. Das Wort *ἀμφικτίονες* nur noch Pind. N. VI 40; vgl. *περικτίονες* VII 148 15 in einem Orakelverse. — *πᾶσι*, übertreibender Zusatz. — *ἀμφί*, hier ganz unpassend. Denn c. gen. in räumlichem Sinne ist das Wort überhaupt fraglich; in der einzigen Stelle Theokr. XXV 9 *νέμονται ἐπ' ὄχθαις ἀμφ' Ἐλισοῦντος* behält es wenigstens seinen ursprünglichen Bezug auf etwas Doppelseitiges. Den Vf. bestimmte offenbar *ἀμφικτίονες*. — Das seltsame *ἐντὸς χρόνου* ist eine unglückliche Nachahmung von *ἐκὰς χρόνου* (c. 144 26), *ἀνὰ* (*ἐς*, *μετὰ*) *χρόνον*. — *φύει*: zu II 68 13. — *δίς*, wohl nur versehen für *τρίς*.

105. 2. *ἤδη* steigert hier u. c. 106 13 die Kraft des Superlativs, wie sonst oft das einfache *δή*. Ebenso Thuk. VI 31 *μέγιστος ἤδη διάπλους*.

3. *ἁλόντα*, wahrscheinlich von Seeräubern. Man könnte an den ionisch-karischen Krieg denken; s. aber V 121 4.

5. *κατεστήσατο*, *instituerat*. Cobet will *κατεκτήσατο* (wie c. 106 14), ohne Noth; zumal in *καταχτᾶσθαι* die Präposition eine hier ungehörige Intension bewirkt, auch das Imperfekt stehen müfste.

7. Ueber Ephesos und Sardes ging die Hauptstrafse ins innere Asien (V 52 ff.). Zu Kunden hatte er aber auch in diesen Städten selbst die Tempel der Kybele (V 102) und Artemis, bei denen Eunuchen neben den Priesterinnen den Dienst versahen. Die verschnittenen Priester der Kybele oder 'grofsen Mutter' sind unter dem Namen *Γάλλοι* bekannt. Von der ephesischen Artemis bezeugt es Strab. 641 *ἱερέας δὲ εὐνούχους εἶχον οὓς ἐκάλουν Μεγαβύζους καὶ ἀλλαχόθεν μετιόντες ἀεί τινας ἀξίους τῆς τοιαύτης προστασίας, καὶ ἦγον ἐν τιμῇ μεγάλῃ*. Vgl. III 48.

9. *τῆς πάσης*, in jeder Beziehung. Von ihrer Stellung am persischen Hofe s. III 77. 92. 130. Xen. Kyr. VII 5 führt auch dies Institut auf den älteren Kyros zurück.

λούς, ἅτε ποιεύμενος ἐκ τούτου τὴν ζόην, καὶ δὴ καὶ τοῦτον. καὶ οὐ γὰρ τὰ πάντα ἐδυστύχεε ὁ Ἑρμότιμος, ἀπικνέεται ἐκ τῶν Σαρδίων παρὰ βασιλέα μετ᾽ ἄλλων δώρων, χρόνου δὲ προϊόντος πάντων τῶν εὐνούχων ἐτιμήθη μάλιστα παρὰ Ξέρξῃ. ὡς δὲ τὸ στράτευμα τὸ 106
Περσικὸν ὥρμα βασιλεὺς ἐπὶ τὰς Ἀθήνας ἐὼν ἐν Σάρδισι, ἐνθαῦτα καταβὰς κατά δή τι πρῆγμα ὁ Ἑρμότιμος ἐς γῆν τὴν Μυσίην, τὴν Χῖοι μὲν νέμονται Ἀταρνεὺς δὲ καλέεται, εὑρίσκει τὸν Πανιώνιον ἐνθαῦτα. ἐπιγνοὺς δὲ ἔλεγε πρὸς αὐτὸν πολλοὺς καὶ φιλίους λόγους, πρῶτα μέν οἱ καταλέγων ὅσα αὐτὸς δι᾽ ἐκεῖνον ἔχοι ἀγαθά, δεύτερα δέ οἱ ὑπισχνεύμενος ἀντὶ τούτων ὅσα μιν ἀγαθὰ ποιήσει ἢν κομίσας τοὺς οἰκέτας οἰκέῃ ἐκείνῃ. ὥστε ἀποδεξάμενον ἄσμενον τοὺς λόγους τὸν Πανιώνιον κομίσαι τά τε τέκνα καὶ τὴν γυναῖκα. ὡς δὲ ἄρα πανοικίῃ μιν περιέλαβε, ἔλεγε ὁ Ἑρμότιμος τάδε. „ὦ πάντων ἀνδρῶν ἤδη μάλιστα ἀπ᾽ ἔργων ἀνοσιωτάτων τὸν βίον κτησάμενε, τί σε ἐγὼ κακὸν ἢ αὐτὸς ἢ τῶν ἐμῶν τις προγόνων ἐργάσατο, ἢ σὲ ἢ τῶν σῶν τινα, ὅτι με ἀντ᾽ ἀνδρὸς ἐποίησας τὸ μηδὲν εἶναι; ἐδόκεές τε θεοὺς λήσειν οἷα ἐμηχανέο τότε· οἵ σε ποιήσαντα ἀνόσια, νόμῳ δικαίῳ χρεόμενοι, ὑπήγαγον ἐς χεῖρας τὰς ἐμάς, ὥστε σε μὴ μέμψασθαι τὴν ἀπ᾽ ἐμέο τοι ἐσομένην δίκην.“ ὡς δέ οἱ ταῦτα ὠνείδισε, ἀχθέντων τῶν παίδων ἐς ὄψιν ἠναγκάζετο ὁ Πανιώνιος τῶν ἑωυτοῦ παίδων τεσσέρων ἐόντων τὰ αἰδοῖα ἀποτάμνειν, ἀναγκαζόμενος δὲ ἐποίεε ταῦτα· αὐτοῦ τε, ὡς ταῦτα ἐργάσατο, οἱ

106. 2. *ἐὼν ἐν Σάρδισι*, im Winter 481/80; s. VII 37 5.

3. *δή τι πρῆγμα*, wie III 69 19.

5. Von *Ἀταρνεὺς δὲ καλέεται* nach *τήν* zu I 47 17.

8. *ἀντὶ τούτων*, mit Emphase vorgestellt.

9. *οἰκέτας*: zu c. 4 9. — *ἐκείνῃ*, sc. *ἐν τῷ Ἀταρνέι*.

12. *πανοικίῃ*: zu VII 39 6. — *περιέλαβε*: zu V 23 19.

15. *ἢ σὲ ἢ τῶν σῶν τινα*, erweiterte Erneuerung von *σε*, veranlafst durch *τῶν ἐμῶν τις προγόνων*. Vgl. die häufigen Fälle wie IX 76 6. 119 9, und zu VI 28 9.

16. *τὸ μηδέν*: zu VII 14 6.

παῖδες ἀναγκαζόμενοι ἀπέταμνον. Πανιώνιον μέν νυν
25 οὕτω περιῆλθε ἥ τε τίσις καὶ ὁ Ἑρμότιμος.

107 Ξέρξης δὲ ὡς τοὺς παῖδας Ἀρτεμισίῃ ἐπέτρεψε ἀπάγειν ἐς Ἔφεσον, καλέσας Μαρδόνιον ἐκέλευέ μιν τῆς στρατιῆς διαλέγειν τοὺς βούλεται, καὶ ποιέειν τοῖσι λόγοισι τὰ ἔργα πειρεόμενον ὁμοῖα. ταύτην μὲν τὴν ἡμέρην ἐς τοσοῦτο ἐγίνετο, τῆς δὲ νυκτὸς κελεύσαντος βασιλέος τὰς νέας οἱ στρατηγοὶ ἐκ τοῦ Φαλήρου ἀπῆγον ὀπίσω ἐς τὸν Ἑλλήσποντον, ὡς τάχεος ἔσχε ἕκαστος, διαφυλαξούσας τὰς σχεδίας πορευθῆναι βασιλέι. ἐπεὶ δὲ ἀγχοῦ ἦσαν Ζωστῆρος πλώοντες οἱ βάρβαροι, ἀνατείνουσι γὰρ ἄκραι λεπταὶ τῆς ἠπείρου ταύτης, ἔδοξάν τε νέας εἶναι καὶ ἔφευγον ἐπὶ πολλόν. χρόνῳ δὲ μαθόντες ὅτι οὐ νέες εἶεν ἀλλ' ἄκραι, συλλεχθέντες ἐκομίζοντο.

108 Ὡς δὲ ἡμέρη ἐγένετο, ὁρέοντες οἱ Ἕλληνες κατὰ

25. περιῆλθε, wie oben περιέλαβε (12). Vgl. zu III 4 13. 126 4. Dieser Ausdruck sowohl wie die Begriffspaarung ἥ τε τίσις καὶ ὁ Ἑρμότιμος ist bei der Denkart des Vf. bedeutsam. Die göttliche τίσις (auch plur. τίσιες) ist ihm gewissermafsen ein persönliches Wesen, wie bei Homer die μοῖρα ὄπις ἄτη κήρ ἐρινύς ὅσσα, die selbstthätig für den ungerecht Beschädigten als *poena vindex* eintritt (s. I 13 10. III 126 4. 128 25). In dem hiesigen Falle soll als das Seltenere bemerkbar gemacht werden, dafs sie neben und in Gemeinschaft mit dem Beleidigten selber wirkte, indem jene die unerwartete Begegnung und die Verblendung des Verbrechers herbeiführte (vgl. 18), dieser die Rachethat vollzog. Wogegen in Ἑρμοτίμου τίσις, was man erwarten möchte, τίσις entweder nur der Akt der Strafe seitens des H., oder aber wie in Πολυκράτεος τίσιες die *vindex Hermotimi* wäre, was die menschliche Mitwirkung verdecken würde.

Flucht der persischen Flotte; Verfolgung bis Andros. Kriegsrath der Hellenen. Des Themistokles neue Botschaft an Xerxes (c. 107 bis 110).

107. 4. πειρεόμενον beschränkt den Befehl auf das allenfalls Mögliche; *si fieri posset.* — ταύτην τὴν ἡμέρην, noch am Tage der Schlacht, vgl. c. 108. Der Akkusativ wie VII 50 22.

5. ἐγίνετο: zu c. 6 2.

7. ἔσχε: zu c. 56 2.

8. διαφυλάξουσι-πορευθῆναι: vgl. zu IV 64 14. VII 25 4.

9. Ζωστήρ, Vgb. an der Westküste, ungefähr in der Mitte zwischen Peiraeeus und Sunion (Strab. 398).

10. τῆς ἠπείρου ταύτης: vgl. VII 201 8.

11. ἐπὶ πολλόν 'eine grofse Strecke weit' (II 32 9). Vgl. zu IX 95 4.

χώρην μένοντα τὸν στρατὸν τὸν πεζὸν ἤλπιζον καὶ τὰς νέας εἶναι περὶ Φάληρον, ἐδόκεόν τε ναυμαχήσειν σφέας, παραρτέοντό τε ὡς ἀλεξησόμενοι. ἐπεὶ δὲ ἐπύθοντο τὰς νέας οἰχωκυίας, αὐτίκα μετὰ ταῦτα ἐδόκεε ἐπιδιώκειν. τὸν μέν νυν ναυτικὸν τὸν Ξέρξεω στρατὸν οὐκ ἐπεῖδον διώξαντες μέχρι Ἄνδρου, ἐς δὲ τὴν Ἄνδρον ἀπικόμενοι ἐβουλεύοντο. Θεμιστοκλέης μέν νυν γνώμην ἀπεδείκνυτο διὰ νήσων τραπομένους καὶ ἐπιδιώξαντας τὰς νέας πλώειν ἰθέως ἐπὶ τὸν Ἑλλήσποντον λύσοντας τὰς γεφύρας· Εὐρυβιάδης δὲ τὴν ἐναντίην ταύτῃ γνώμην ἐτίθετο, λέγων ὡς εἰ λύσουσι τὰς σχεδίας, τοῦτ' ἂν μέγιστον πάντων σφεῖς κακὸν τὴν Ἑλλάδα ἐργάσαιντο. εἰ γὰρ ἀναγκασθείη ἀπολαμφθεὶς ὁ Πέρσης μένειν ἐν τῇ Εὐρώπῃ, πειρῷτο ἂν ἡσυχίην μὴ ἄγειν, ὡς ἄγοντι μέν οἱ ἡσυχίην οὔτε τι προχωρέειν οἷόν τε ἔσται τῶν πρηγμάτων οὔτε τις κομιδὴ τὸ ὀπίσω φανήσεται, λιμῷ τέ οἱ ἡ στρατιὴ διαφθερέεται, ἐπιχειρέοντι δὲ αὐτῷ καὶ ἔργου ἐχομένῳ πάντα τὰ κατὰ τὴν Εὐρώπην οἷά τε ἔσται προσχωρῆσαι κατὰ πόλις τε καὶ κατ' ἔθνεα, ἤτοι ἁλισκομένων γε ἢ πρὸ τούτου ὁμologεόντων· τροφήν τε ἕξειν σφέας τὸν ἐπέτεον αἰεὶ τῶν Ἑλλήνων καρπόν. ἀλλὰ δοκέειν γὰρ νικηθέντα τῇ ναυμαχίῃ οὐ μενέειν ἐν τῇ Εὐρώπῃ τὸν Πέρσεα· ἐατέον ὦν εἶναι φεύγειν, ἐς ὃ ἔλθῃ φεύγων ἐς τὴν ἑωυτοῦ. τὸ ἐνθεῦτεν δὲ περὶ τῆς ἐκείνου ποιέεσθαι ἤδη τὸν ἀγῶνα ἐκέλευε. ταύτης δὲ εἵ-

108. 3. *περὶ Φάληρον*, wohin sie sich Tags vorher zurückgezogen (c. 92 14).

6. *τὸν Ξέρξεω*, mit wiederholtem Artikel wie VII 196 1.

9. *νήσων*: zu III 96 3.

15. *ἡσυχίην μὴ ἄγειν*: diesen negativen Ausdruck wählt der Redner, weil ihm die 'Unthätigkeit' des Feindes als das, was zunächst zu erwarten (23) und zu wünschen sei, vor der Seele steht, und er dies durch des Themistokles Vorschlag gefährdet glaubt. Daher auch die nachdrucksvolle Stellung des *μή*, 'Ruhe nicht zu halten', wie man doch von ihm voraussetze. Nachher tritt dafür das positive *ἐπιχειρέειν* u. *ἔργου ἔχεσθαι* ein.

17. *κομιδὴ τὸ ὀπίσω*: zu IV 134 14.

19. *ἔργου ἐχομένῳ*: zu III 72 28.

24. *ἐς ὃ ἔλθῃ*, ohne *ἄν*; zu IV 172 14.

26. *ἤδη* ist an *τὸ ἐνθεῦτεν δέ* heranzuziehen; vgl. c. 98 9. IX 102 11.

χοντο τῆς γνώμης καὶ Πελοποννησίων τῶν ἄλλων οἱ
109 στρατηγοί. ὡς δὲ ἔμαθε ὅτι οὐ πείσει τούς γε πολλοὺς πλώειν ἐς τὸν Ἑλλήσποντον ὁ Θεμιστοκλέης, μεταβαλὼν πρὸς τοὺς Ἀθηναίους (οὗτοι γὰρ μάλιστα ἐκπεφευγότων περιημέκτεον, ὡρμέατό τε ἐς τὸν Ἑλ-
5 λήσποντον πλώειν καὶ ἐπὶ σφέων αὐτῶν βαλλόμενοι, εἰ ὦλλοι μὴ βουλοίατο) ἔλεγέ σφι τάδε. „καὶ αὐτὸς ἤδη πολλοῖσι παρεγενόμην καὶ πολλῷ πλέω ἀκήκοα τοιάδε γενέσθαι, ἄνδρας ἐς ἀναγκαίην ἀπειληθέντας νενικημένους ἀναμάχεσθαί τε καὶ ἀναλαμβάνειν τὴν προτέρην
10 κακότητα. ἡμεῖς δέ, εὕρημα γὰρ εὑρήκαμεν ἡμέας τε αὐτοὺς καὶ τὴν Ἑλλάδα, νέφος τοσοῦτο ἀνθρώπων ἀνωσάμενοι, μὴ διώκωμεν ἄνδρας φεύγοντας. τάδε γὰρ οὐκ ἡμεῖς κατεργασάμεθα, ἀλλὰ θεοί τε καὶ ἥρωες, οἳ ἐφθόνησαν ἄνδρα ἕνα τῆς τε Ἀσίης καὶ τῆς Εὐρώπης
15 βασιλεῦσαι ἐόντα ἀνόσιόν τε καὶ ἀτάσθαλον· ὃς τά τε ἱρὰ καὶ τὰ ἴδια ἐν ὁμοίῳ ἐποιέετο, ἐμπιπράς τε καὶ καταβάλλων τῶν θεῶν τὰ ἀγάλματα· ὃς καὶ τὴν θάλασσαν ἀπεμαστίγωσε πέδας τε κατῆκε. ἀλλ' εὖ γὰρ ἔχει ἐς τὸ παρεὸν ἡμῖν, νῦν μὲν ἐν τῇ Ἑλλάδι καταμείναντες ἡ-
20 μέων τε αὐτῶν ἐπιμεληθῆναι καὶ τῶν οἰκετέων· καί τις οἰκίην τε ἀναπλασάσθω καὶ σπόρου ἀνακῶς ἐχέτω,

109. 3. *μεταβαλών, ab illis conversus ad Athenienses.* Vgl. VII 52 3.

5. *καὶ-βαλλόμενοι, vel per se ipsi* (III 71 19).

9. *ἀναλαμβάνειν*: zu V 121 1.

10f. *κακότης* 'Unglück, Niederlage'. — *εὕρημα-Ἑλλάδα* 'daſs wir uns selbst und Hellas gerettet haben verdanken wir einer besonderen Gunst des Glückes'. Vgl VII 10^{δ} 9.

14. *ἐφθόνησαν*: zu VII 10^{ε} 4.

15. *ἐόντα, praesertim cum sit.*

16. *ἐν ὁμοίῳ ἐποιέετο, eodem loco habuit.* Vgl. zu I 118 8. — Aesch. Pers. 811 *οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη Ἡιδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς· Βωμοὶ δ' ἄιστοι, δαιμόνων θ' ἱδρύματα Πρόῤῥιζα φύρδην ἐξανέστραπται βάθρων.*

18. S. VII 35. — *ἀλλ'-γάρ* 'doch da'; zu I 147 4.

20. *ἐπιμεληθῆναι*, adhortativ. Falls nicht *δεῖ* ausgefallen.

21. *τις*: zu VI 9 14. — *οἰκίην ἀναπλασάσθω, domum refingat. πλάσσειν* vom kunstverständigen Zubereiten und Zusammenfügen der Bautheile, wie Ar. Nub. 874 *παιδάριον-ἔπλαττεν ἔνδον οἰκίας ναῦς τ' ἔγλυφεν*, Eur. Fr. 1116 *οἶκος τεκτόνων πλασθεὶς ὕπο*, Dichter bei Lykurg. Leokr. 132 *ὄρνις ἣν πλάσῃ δόμον*. — *ἀνακῶς ἐχέτω*:

παντελέως ἀπελάσας τὸν βάρβαρον· ἅμα δὲ τῷ ἔαρι καταπλέωμεν ἐπὶ Ἑλλησπόντου καὶ Ἰωνίης.“ ταῦτα ἔλεγε ἀποθήκην μέλλων ποιήσεσθαι ἐς τὸν Πέρσεα, ἵνα ἢν ἄρα τί μιν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος, ἔχῃ ἀποστροφήν· τά περ ὦν καὶ ἐγένετο.

Θεμιστοκλέης μὲν ταῦτα λέγων διέβαλλε, Ἀθηναῖοι 110 δὲ ἐπείθοντο· ἐπειδὴ γὰρ καὶ πρότερον δεδογμένος εἶναι σοφὸς ἐφάνη ἐὼν ἀληθέως σοφός τε καὶ εὔβουλος, πάντως ἑτοῖμοι ἦσαν λέγοντι πείθεσθαι. ὡς δὲ οὗτοί οἱ ἀνεγνωσμένοι ἦσαν, αὐτίκα μετὰ ταῦτα ὁ Θεμιστοκλέης

zu I 24 29.

22. *παντελέως*: denn vorläufig stand der Feind noch im Lande. Them. meinte es würde noch in diesem Jahre zu der entscheidenden Feldschlacht kommen.

24. *ἀποθήκην ποιέεσθαι* ‘sich ein Guthaben einlegen’, soviel als *εὐεργεσίην* od. *χάριν ἀποτίθεσθαι* (vgl. zu VI 41 16). Menand. monost. 295 *καλὸν τὸ θησαύρισμα κειμένη χάρις*. Dahei *ἐς τὸν Πέρσεα*, wie VI 73 *παραθήκην κατατίθεσθαι ἐς τοὺς ἐχθίστους Αἰγινήτησι Ἀθηναίους*. Der Perserkönig ist Ziel und Ort, wo er gleichsam seinen Nothpfennig deponirt. In seinem Briefe an Artaxerxes (Thuk. I 137) reklamirt er dies Guthaben: *καί μοι εὐεργεσία ὀφείλεται* (— *γράψας τὴν ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προσεποιήσατο, τότε δι' αὐτὸν οὐ διάλυσιν* —).

26. *ἀποστροφήν*: zu II 13 26. — *τὰ-ἐγένετο*: er ward um 476 durch Ostrakismos verbannt.

110. *Θεμ.-ἐπείθετο*, genau so V 107 2. Die Aeufserung zeigt wie eingenommen des Vf.'s Urtheil auch da gegen den Charakter des Them. ist (s. zu c. 4 11), wo nicht einmal ein Schein von Hinterhaltigkeit auf ihm liegt. Er hatte den Gedanken die Brücken zu zerstören selber und zuerst angeregt (c. 108 8 ff.); weil er aber bei den Bundesgenossen Widerstand, bei seinen Mithürgern dagegen lebhafte Willigkeit fand, so kam er in die Gefahr die kaum erlangte Einigkeit selber wieder zu stören. Da ühte er die Selbstverleugnung der Einigkeit zu Liebe die Athener von seinem eigenen Vorschlage wieder abzubringen und sie auf ein Näheres, die Befreiung des heimathlichen Bodens, hinzulenken. Die zweite Sendung an Xerxes aber hatte zunächst den ausgesprochenen Zweck den König zum schleunigen Abzuge zu bewegen (16). Plut. Them. 16 „*οὐκοῦν*“ *ἔφη ὁ Θεμιστοκλῆς „εἰ δοκεῖ ταῦτα συμφέρειν* (sc. *ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης*) *ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας ἡμᾶς, ὅπως ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος. ἐπεὶ δὲ ταῦτα ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρὼν Ἀρτάκην ὄνομα φράζειν βασιλεῖ κελεύσας“ κτλ.*

3. *σοφός*: zu V 23 11. — Vor *ἐφάνη* vermifst man *τότε δή* (Valla *postea vero*). — *εὔβουλος*: Thuk. I 138 in seiner Zeichnung des Mannes *τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής*.

ἄνδρας ἀπέπεμπε ἔχοντας πλοῖον, τοῖσι ἐπίστευσε σιγᾶν ἐς πᾶσαν βάσανον ἀπικνεομένοισι, τὰ αὐτὸς ἐνετείλατο βασιλέι φράσαι· τῶν καὶ Σίκιννος ὁ οἰκέτης αὖτις ἐγένετο. οἳ ἐπείτε ἀπίκοντο πρὸς τὴν Ἀττικήν, οἱ μὲν κατ-
10 έμενον ἐπὶ τῷ πλοίῳ, Σίκιννος δὲ ἀναβὰς παρὰ Ξέρξεα ἔλεγε τάδε. „ἔπεμψέ με Θεμιστοκλέης ὁ Νεοκλέος, στρατηγὸς μὲν Ἀθηναίων, ἀνὴρ δὲ τῶν συμμάχων πάντων ἄριστος καὶ σοφώτατος, φράσοντά τοι ὅτι Θεμιστοκλέης ὁ Ἀθηναῖος, σοὶ βουλόμενος ὑπουργέειν,
15 ἔσχε τοὺς Ἕλληνας τὰς νέας βουλομένους διώκειν καὶ τὰς ἐν Ἑλλησπόντῳ γεφύρας λύειν. καὶ νῦν κατ' ἡσυχίην πολλὴν κομίζεο.“ οἱ μὲν ταῦτα σημήναντες ἀπέπλωον ὀπίσω.

111 Οἱ δὲ Ἕλληνες, ἐπείτε σφι ἀπέδοξε μήτ' ἐπιδιώκειν ἔτι προσωτέρω τῶν βαρβάρων τὰς νέας μήτε πλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντας τὸν πόρον, τὴν Ἄνδρον περικατέατο ἐξελεῖν ἐθέλοντες. πρῶτοι γὰρ
5 Ἄνδριοι νησιωτέων αἰτηθέντες πρὸς Θεμιστοκλέος χρήματα οὐκ ἔδοσαν, ἀλλὰ προϊσχομένου Θεμιστοκλέος λόγον τόνδε, ὡς ἥκοιεν Ἀθηναῖοι περὶ ἑωυτοὺς ἔχοντες δύο θεοὺς μεγάλους, πειθώ τε καὶ ἀναγκαίην, οὕτω

6. *τοῖσι-σιγᾶν* 'denen er Verschwiegenheit zutraute'.

13. *πάντων ἄριστος καὶ σοφώτατος*, ein Zug gespreizter Eitelkeit, den H. mit demselben Bedacht hervorhebt wie c. 124 7.

Belagerung von Andros. Kriegssteuern der Insulaner (c. 111 f.)

111. 5. *νησιωτέων*: zu VII 95 1. — *χρήματα*, zur Führung des Krieges und vorzüglich zur Löhnung und Unterhalt der Schiffsmannschaften. Auch hierin sieht H. nichts anderes als bare Habsucht des einen Themistokles (c. 112). Zunächst fiel die Last der Kontribution nur auf solche Inseln und Städte, die zu den Feinden gestanden (c. 66 14). Uebrigens das erste Beispiel jener *ἀργυρολογία*, durch welche Athen später die überseeischen Bundesgenossen zu den Lasten seiner Kriege heranzuziehen pflegte.

8. *θεούς*: Simon. Amorg. Fr. VII 102 *λιμὸν-ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεόν*. Soph. El. 179 *χρόνος εὐμαρὴς θεός*, Fr. 837 *ἀλλ' ἡ φρόνησις ἀγαθὴ θεὸς μέγας*. Eur. Fr. 250 *οὐκ ἔστι πενίας ἱερὸν ἐχθίστης θεοῦ*. 'Die Gegenwart ist eine mächtige Göttin' Göthe Tasso. — *πειθώ τε καὶ ἀναγκαίη* 'Güte und Gewalt'. *πείθειν* und *ἀναγκάζειν* (*βιᾶσθαι*) sind eine sehr geläufige Antithese der beiden Mittel den Willen Anderer gefügig zu machen.

τέ σφι κάρτα δοτέα εἶναι χρήματα, ὑπεκρίναντο πρὸς ταῦτα λέγοντες ὡς κατὰ λόγον ἦσαν ἄρα αἱ Ἀθῆναι μεγάλαι τε καὶ εὐδαίμονες καὶ θεῶν χρηστῶν ἤκοιεν εὖ, ἐπεὶ Ἀνδρίους γε εἶναι γεωπείνας ἐς τὰ μέγιστα ἀνήκοντας, καὶ θεοὺς δύο ἀχρήστους οὐκ ἐκλείπειν σφέων τὴν νῆσον ἀλλ' αἰεὶ φιλοχωρέειν, πενίην τε καὶ ἀμηχανίην, καὶ τούτων τῶν θεῶν ἐπηβόλους ἑόντας Ἀνδρίους οὐ δώσειν χρήματα· οὐδέκοτε γὰρ τῆς ἑωυτῶν ἀδυναμίης τὴν Ἀθηναίων δύναμιν εἶναι κρέσσω. οὗτοι μὲν δὴ ταῦτα ὑποκρινάμενοι καὶ οὐ δόντες χρή- 112
ματα ἐπολιορκέοντο· Θεμιστοκλέης δέ, οὐ γὰρ ἐπαύετο πλεονεκτέων, ἐσπέμπων ἐς τὰς ἄλλας νήσους ἀπειλητηρίους λόγους αἴτεε χρήματα διὰ τῶν αὐτῶν ἀγγέλων, χρεόμενος λόγοισι τοῖσι καὶ πρὸς Ἀνδρίους ἐχρήσατο, λέγων ὡς εἰ μὴ δώσουσι τὸ αἰτεόμενον, ἐπάξει τὴν στρατιὴν τῶν Ἑλλήνων καὶ πολιορκέων ἐξαιρήσει. λέγων ὧν ταῦτα συνέλεγε χρήματα μεγάλα, παρὰ Καρυστίων τε καὶ Παρίων, οἳ πυνθανόμενοι τήν τε Ἄνδρον ὡς πολιορκέοιτο διότι ἐμήδισε, καὶ Θεμιστοκλέα ὡς εἴη ἐν αἴνῃ μεγίστῃ τῶν στρατηγῶν, δείσαντες ταῦτα ἔπεμπον χρήματα. εἰ δὲ δή τινες καὶ ἄλλοι ἔδοσαν νησιωτέων, οὐκ ἔχω εἰπαι· δοκέω δέ τινας καὶ ἄλλους δοῦναι καὶ οὐ τούτους μούνους. καίτοι Καρυστίοισί γε οὐδὲν τούτου εἵνεκεν τοῦ κακοῦ ὑπερβολὴ ἐγένετο· Πάριοι δὲ Θε-

10. *κατὰ λόγον* 'entsprechend, natürlich', *κατὰ τὸ εἰκός*. — *ἄρα*: zu III 64 20.

11. *καὶ θεῶν-εὖ* 'und sich günstiger Gottheiten erfreuten'. S. zu I 30 20. VII 157 12.

12f. *ἐπεὶ ....*, 'denn was die Andrier betreffe, so ....' Vgl. VII 96 10. — *ἐς τὰ μέγιστα ἀνήκοντες*: zu V 49 15. Hier mit Ironie und Humor, 'und darin seien sie die ersten, hätten sie es am weitesten gebracht'.

14. Alkaeos Fr. 92 *ἀργαλέον πενίη, κάκον ἄσχετον, ἃ μέγα δάμνης Λᾶον ἀμαχανίᾳ σὺν ἀδελφέᾳ.*

16f. Vgl. VII 172 17.

112. 3. *ἐς τὰς ἄλλας*, natürlich die e. 46 ff. genannten ausgenommen.

7. *στρατιήν* 'Flotte'; zu VII 44 9.

11. *τῶν στρατηγῶν*, partitiver Genitiv.

15. *τοῦ κακοῦ*: s. c. 121. — *ὑπερβολή* = *ἀναβολή*, 'Aufschub', von *ὑπερβάλλεσθαι*. Sonst 'Uebermafs' (von *ὑπερβάλλειν*).

μιστοκλέα χρήμασι ἱλασάμενοι διέφυγον τὸ στράτευμα. Θεμιστοκλέης μέν νυν ἐξ Ἄνδρου ὁρμεόμενος χρήματα παρὰ νησιωτέων ἐκτᾶτο λάθρῃ τῶν ἄλλων στρατηγῶν.

113 Οἱ δ' ἀμφὶ Ξέρξεα ἐπισχόντες ὀλίγας ἡμέρας μετὰ τὴν ναυμαχίην ἐξήλαυνον ἐς Βοιωτοὺς τὴν αὐτὴν ὁδόν. ἔδοξε γὰρ Μαρδονίῳ ἅμα μὲν προπέμψαι βασιλέα, ἅμα δὲ ἀνωρίη εἶναι τοῦ ἔτεος πολεμέειν· χειμερίσαι τε ἄμεινον εἶναι ἐν Θεσσαλίῃ, καὶ ἔπειτεν ἅμα τῷ ἔαρι πειρᾶσθαι τῆς Πελοποννήσου. ὡς δὲ ἀπίκατο ἐς τὴν Θεσσαλίην, ἐνθαῦτα Μαρδόνιος ἐξελέγετο πρώτους μὲν τοὺς μυρίους Πέρσας πάντας τοὺς ἀθανάτους καλεομένους, πλὴν Ὑδάρνεος τοῦ στρατηγοῦ (οὗτος γὰρ οὐκ ἔφη λείψεσθαι βασιλέος), μετὰ δὲ τῶν ἄλλων Περσέων τοὺς θωρηκοφόρους καὶ τὴν ἵππον τὴν χιλίην, καὶ Μήδους τε καὶ Σάκας καὶ Βακτρίους τε καὶ Ἰνδούς, καὶ τὸν πεζὸν καὶ τὴν ἵππον. ταῦτα μὲν ἔθνεα ὅλα εἵλετο, ἐκ δὲ τῶν ἄλλων συμμάχων ἐξελέγετο κατ' ὀλίγους, τοῖσι εἴδεά τε ὑπῆρχε διαλέγων, καὶ εἰ τέοισί τι χρηστὸν συνήδεε πεποιημένον. ἓν δὲ πλεῖστον ἔθνος Πέρσας αἱρέετο, ἄνδρας στρεπτο-

16. *ἱλασάμενοι*, wie eine Gottheit. Wohl eine spöttische Erinnerung an die stolzen Worte c. 111 8. — *τὸ στράτευμα*: zu III 48 1.

17. *ἐξ Ἄνδρου ὁρμεόμενος*: vgl. zu V 94 9.

Rückzug des Xerxes (c. 113—120).

113. 2. *τὴν αὐτὴν ὁδόν*: s. c. 50. Im folgenden Jahre wählte Mardonios eine andere Richtung (IX 15).

3. *ἔδοξε*, in doppelter Bedeutung, 'schien gut' (*προπέμψαι*) und 'schien' (*ἀνωρίη εἶναι*). Vgl. zu IX 28 7. — *προπέμψαι*, bis nach Thessalien. Weiter geleitete ihn Artabazos (c. 126).

4. *ἀνωρίη τοῦ ἔτεος* 'zu spät im Jahr'. Vgl. das attische *ἀωρὶ τῆς νυκτός*. Es war schon im Oktober.

8. *τοὺς μυρίους*: s. VII 41 7. 83 3ff. Hydarnes befehligte sie.

10. *θωρηκοφόρους*: zu VII 61 4.

11. *τὴν χιλίην*: VII 40 f. 55 werden zwei gesonderte Regimenter von dieser Stärke erwähnt.

14. *κατ' ὀλίγους*, distributiv; zu I 9 11. — Zum Plural *εἴδεα* vgl. *μεγάθεα* (III 102 8).

15. *συνήδεε*: vgl. zu V 24 17.

16 f. *ἓν—αἱρέετο*, 'als einzelnes Volk wählte er Perser am zahlreichsten', d. h. unter den von ihm Ausgesuchten war das persische Volk verhältnifsmäfsig am stärksten vertreten. Thuk. III 39 *ἀποφαίνω Μυτιληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς*, 113 *πάθος γὰρ τοῦτο μιῇ πόλει Ἑλλη-*

φόρους τε καὶ ψελιοφόρους, ἐπὶ δὲ Μήδους· οὗτοι δὲ πλῆθος μὲν οὐκ ἐλάσσονες ἦσαν τῶν Περσέων, ῥώμῃ δὲ ἔσσονες. ὥστε σύμπαντας τριήκοντα μυριάδας γενέσθαι σὺν ἱππεῦσι.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐν τῷ Μαρδόνιός τε τὴν 114
στρατιὴν διέκρινε καὶ Ξέρξης ἦν περὶ Θεσσαλίην, χρηστήριον ἐληλύθεε ἐκ Δελφῶν Λακεδαιμονίοισι, Ξέρξεα αἰτέειν δίκας τοῦ Λεωνίδεω φόνου καὶ τὸ διδόμενον ἐξ ἐκείνου δέκεσθαι. πέμπουσι δὴ κήρυκα τὴν ταχίστην Σπαρτιῆται, ὃς ἐπειδὴ κατέλαβε ἐοῦσαν ἔτι πᾶσαν τὴν στρατιὴν ἐν Θεσσαλίῃ, ἐλθὼν ἐς ὄψιν τὴν Ξέρξεω ἔλεγε τάδε. „ὦ βασιλεῦ Μήδων, Λακεδαιμόνιοί τέ σε καὶ Ἡρακλεῖδαι οἱ ἀπὸ Σπάρτης αἰτέουσι φόνου δίκας, ὅτι σφέων τὸν βασιλέα ἀπέκτεινας ῥυόμενον τὴν Ἑλλάδα.“ ὁ δὲ γελάσας τε καὶ κατασχὼν πολλὸν χρόνον, ὡς οἱ ἐτύγχανε παρεστεὼς Μαρδόνιος, δεικνὺς ἐς τοῦτον εἶπε „τοιγάρ σφι Μαρδόνιος ὅδε δίκας δώσει τοιαύτας οἵας ἐκείνοισι πρέπει.“ ὁ μὲν δὴ δεξάμενος τὸ 115
ῥηθὲν ἀπαλλάσσετο, Ξέρξης δὲ Μαρδόνιον ἐν Θεσσαλίῃ καταλιπὼν αὐτὸς ἐπορεύετο κατὰ τάχος ἐς τὸν Ἑλλήσποντον, καὶ ἀπικνέεται ἐς τὸν πόρον τῆς διαβάσιος ἐν πέντε καὶ τεσσεράκοντα ἡμέρῃσι, ἀπάγων τῆς στρατιῆς οὐδὲν μέρος ὡς εἶπαι. ὅκου δὲ πορευόμενοι

νίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε ἐγένετο, VII 40 *οἰκέται τοῖς Χίοις πολλοὶ ὄντες καὶ μιᾷ γε πόλει πλεῖστοι γενόμενοι*. Vgl. I 32 45. — *πλεῖστον*, eig. zu *Πέρσας* gehörig, ist zu dem näheren appositiven *ἔθνος* konstruirt. — Ueber *αἱρέετο* nach *εἵλετο* vgl. zu VII 123 5. — *στρεπτοφόρους τε καὶ ψελιοφόρους*: vgl. VII 83 10. IX 80 9. — *ἐπὶ δέ*, nächst den Persern. Doch wird das gleich wieder modifizirt: an Zahl waren sie gleich, aber nicht an Körperkraft. — *ῥώμῃ*: vgl. VII 103 25 ff.

114. 4. *τὸ διδόμενον*, *quod offerretur*. Aehnlich III 148 12. VIII 138 4. IX 111 27. Vgl. auch V 18 4. VIII 137 26. Il. ι 164 *δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς* (*offers*) *Ἀχιλῆι ἄνακτι*.

11. *κατασχών* 'an sich haltend, schweigend'. Vgl. zu V 19-4 u. *ἐπισχόντες* (*morati*) c. 113 1.

13. *δίκας δώσει*, wie es sich nachher erfüllte (IX 64).

115. *δεξάμενος*, hier mit dem Sinne von *δέκεσθαι οἰωνόν* (IX 91 7).

5 f. Der Hinmarsch hatte die doppelte Zeit gedauert (c. 51 4). — *οὐδὲν μέρος*, offenbar übertrieben, wie sich aus H. selber erweisen läfst

γινοίατο καὶ κατ᾽ οὔστινας ἀνθρώπους, τὸν τούτων καρπὸν ἂν ἁρπάζοντες ἐσιτέοντο· εἰ δὲ καρπὸν μηδένα εὕροιεν, οἱ δὲ τὴν ποίην τὴν ἐκ τῆς γῆς ἀναφυομένην καὶ τῶν δενδρέων τὸν φλοιὸν περιλέποντες καὶ τὰ φύλλα καταδρέποντες κατήσθιον, ὁμοίως τῶν τε ἡμέρων καὶ τῶν ἀγρίων, καὶ ἔλειπον οὐδέν· ταῦτα δ᾽ ἐποίευν ὑπὸ λιμοῦ. ἐπιλαβὼν δὲ λοιμός τε τὸν στρατὸν καὶ δυσεντερίη κατ᾽ ὁδὸν διέφθειρε. τοὺς δὲ καὶ νοσέοντας αὐτῶν κατέλειπε, ἐπιτάσσων τῇσι πόλισι, ἵνα ἑκάστοτε γίνοιτο ἐλαύνων, μελεδαίνειν τε καὶ τρέφειν, ἐν Θεσσαλίῃ τέ τινας καὶ ἐν Σίρι τῆς Παιονίης καὶ ἐν Μακεδονίῃ. ἔνθα καὶ τὸ ἱρὸν ἅρμα καταλιπὼν τοῦ Διός, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἤλαυνε, ἀπιὼν οὐκ ἀπέλαβε, ἀλλὰ δόντες οἱ Παίονες τοῖσι Θρήιξι ἀπαιτέοντος Ξέρξεω ἔφασαν νεμομένας ἁρπασθῆναι ὑπὸ τῶν ἄνω Θρηίκων τῶν περὶ τὰς πηγὰς τοῦ Στρυμόνος οἰκημένων. ἔνθα

(vgl. c. 130 3). Denn Artabazos, der mit 60000 M. dem Könige bis zum Hellespont das Geleit gab (c. 126), stellte trotz der winterlichen Kämpfe in Thrakien (c. 127 ff.) im Frühjahr 479 noch 40000 ins Feld (IX 66 8). Selbst Aeschylos in seiner Beschreibung des kläglichen Rückzuges begnügt sich Pers. 503 mit ὅσοι δὲ λοιποὶ κἄτυχον σωτηρίας, Θρῄκην περάσαντες μόλις πολλῷ πόνῳ, Ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες, Ἐφ᾽ ἑστιοῦχον γαῖαν (vgl. zu c. 117 5). Man hatte sich freilich aus nationalem Hochgefühl allmälig gewöhnt den Gegensatz zwischen dem stolzen Anmarsch des Königs und seiner schmählichen Rückfahrt mit möglichst eindrucksvollen Zügen auszuschmücken. Am stärksten Justin. II 13 *ipse cum paucis Abydon contendit. ubi cum solutum pontem hibernis tempestatibus offendisset, piscatoria scapha trepidus traiecit* (*carens*) *etiam omni servorum ministerio.*

8. ἂν-ἐσιτέοντο, iterativ (σιτεέσκοντο); nach einem Vordersatze mit ὅκου c. opt., wie sonst nach ὅκως εἰ u. dgl. c. opt., (I 196 10 ff. II 109 6 (εἰ). III 51 12. VII 211 13).

9. οἱ δέ: zu I 17 9.

10. Richtiger τόν τε φλοιόν.

13. ἐπιλαβών: vgl. zu VI 27 6.

17. Σῖρις, Stadt an einem östl. Nebenflusse des Strymon, nicht weit oberhalb des Prasias-sees; die Hauptstadt der Σιριοπαίονες (V 15 13). Auch Σίρρα od. ἡ Σιρραίων πόλις (Steph. B., C. I. 2007), Σέρρα (Hierokl. 639), *Sirae* (Liv. XLV 4); noch jetzt *Seres*. Ueber die Marschrichtung zu VII 113 1.

18. ἔνθα, ἐν Σίρι. — ἅρμα-Διός: s. VII 40 15.

21. νεμομένας: als Subjekt schwebt aus ἅρμα (‘Gespann’) τοὺς ἵππους vor. Es waren acht Schimmel (VII 40 15).

22. Nach Strabon 331, 36 ff. sind dies die Ἀγριᾶνες, die er aber ebenso wie Thuk. II 96 als paeonischen Stamm bezeichnet.

καὶ ὁ τῶν Βισαλτέων βασιλεὺς γῆς τε τῆς Κρηστωνικῆς Θρῆιξ ἔργον ὑπερφυὲς ἐργάσατο· ὃς οὔτε αὐτὸς ἔφη τῷ Ξέρξῃ ἑκὼν εἶναι δουλεύσειν, ἀλλ᾽ οἴχετο ἄνω ἐς τὸ οὖρος τὴν Ῥοδόπην, τοῖσί τε παισὶ ἀπηγόρευε μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. οἱ δὲ ἀλογήσαντες, ἢ ἄλλως σφι θυμὸς ἐγένετο θῆσασθαι τὸν πόλεμον, ἐστρατεύοντο ἅμα τῷ Πέρσῃ. ἐπεὶ δὲ ἀνεχώρησαν ἀσινέες πάντες ἐξ ἐόντες, ἐξώρυξε αὐτῶν ὁ πατὴρ τοὺς ὀφθαλμοὺς διὰ τὴν αἰτίην ταύτην. καὶ οὗτοι μὲν τοῦτον τὸν μισθὸν ἔλαβον, οἱ δὲ Πέρσαι ὡς ἐκ τῆς Θρηίκης πορευόμενοι ἀπίκοντο ἐπὶ τὸν πόρον, ἐπειγόμενοι τὸν Ἑλλήσποντον τῇσι νηυσὶ διέβησαν ἐς Ἄβυδον· τὰς γὰρ σχεδίας οὐκ εὗρον ἔτι ἐντεταμένας ἀλλ᾽ ὑπὸ χειμῶνος διαλελυμένας. ἐνθαῦτα δὲ κατεχόμενοι σιτία τε πλέω ἢ κατ᾽ ὁδὸν ἐλάγχανον, οὐδένα τε κόσμον ἐμπιπλάμενοι καὶ ὕδατα μεταβάλλοντες ἀπέθνησκον τοῦ στρατοῦ τοῦ περιεόντος πολλοί. οἱ δὲ λοιποὶ ἅμα Ξέρξῃ ἀπικνέονται ἐς Σάρδις. 117

116. 2. *Βισαλτέων*: s. VII 115 4. Das krestnnaeische Land lag nicbt unmittelbar nördlich davnn, sondern böher binauf, an den Quellen des Echeidorns (VII 124 6. 127 9). Vgl. zu V 3 9. Ueber das pnlitische Verhältnifs der beiden Völkerschaften zu einander ist die Stelle nicht deutlich genug.

3. *ὑπερφυές*, hier tndelnd, = *σχέτλιον, δεινόν, immane*. Anders IX 78 5.

7. *θυμὸς ἐγένετο*, parallel zu *ἀλογήσαντες*, würde weniger nnffallen, wenn wie snnst, zumal mit *ἄλλως* (III 33 2), die Glieder durcb *εἴτε-εἴτε* verbnnden wären, da bei diesen Konjunktionen der Uebergang des zweiten Gliedes in selbständige Fügung nicht selten ist (vgl. z. B. c. 54 7. IX 5 8, n. zu I 85 5).

117. 4. *τῇσι νηυσί*, der bereits eingetrnffenen Flntte (e. 130 3).

5. *ἐντεταμένας*: zu VII 34 3. — Es mnfs eine entgegengesetzte Erzählung gegeben haben, der Aesch. 735 fnlgt: *μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα· ἀσμενον μολεῖν γέφυραν γαΐν δυαΐν ζευκτηρίαν.*

6. *κατεχόμενοι*, vnn ihrern Führern; Ggs. zu *ἐπειγόμενοι* (3).

7. *οὐδένα κόσμον* = *ἀκόσμως, immoderate*; IX 65 3. 69 7 u. 13 *nullo ordine*. Vgl. IX 66 15 *τὸν αὐτὸν κόσμην κατηγέετο*. Der Akknsativ wie bei *τρόπος*; üfter der Dativ.

8. Man scbrieb dem Trinkwasser, nach seiner Verschiedenheit an Ursprung Geschmack nnd Gewicht, grnfsen Einflufs auf den Gesnndheitszustand zu. *πλεῖστον γὰρ μέρος συμβάλλεται ἐς τὴν ὑγιείην* sagt Hippokrates im Fragment seiner s. g. Schrift *περὶ ἀέρος ὑδάτων τόπων*, dessen zweiter Abscbnitt diesen Gegenstand ausführlicb bebandelt.

118 Ἔστι δὲ καὶ ἄλλος ὅδε λόγος λεγόμενος, ὡς ἐπειδὴ Ξέρξης ἀπελαύνων ἐξ Ἀθηνέων ἀπίκετο ἐπ' Ἠιόνα τὴν ἐπὶ Στρυμόνι, ἐνθεῦτεν οὐκέτι ὁδοιπορίῃσι διεχρᾶτο, ἀλλὰ τὴν μὲν στρατιὴν Ὑδάρνεϊ ἐπιτράπει ἀπάγειν ἐς τὸν Ἑλλήσποντον, αὐτὸς δ' ἐπὶ νεὸς Φοινίσσης ἐπιβὰς ἐκομίζετο ἐς τὴν Ἀσίην. πλώοντα δέ μιν ἄνεμον Στρυμονίην ὑπολαβεῖν μέγαν καὶ κυματίην. καὶ δὴ μᾶλλον γάρ τι χειμαίνεσθαι γεμούσης τῆς νεὸς ὥστε ἐπὶ τοῦ καταστρώματος ἐπεόντων συχνῶν Περσέων τῶν σὺν Ξέρξῃ κομιζομένων, ἐνθαῦτα ἐς δεῖμα πεσόντα τὸν βασιλέα εἴρεσθαι βώσαντα τὸν κυβερνήτεα εἴ τις ἔστι σφι σωτηρίη, καὶ τὸν εἶπαι „δέσποτα, οὐκ ἔστι οὐδεμία, ἢν μὴ τούτων ἀπαλλαγή τις γένηται τῶν πολλῶν ἐπιβατέων." καὶ Ξέρξεα λέγεται ἀκούσαντα ταῦτα εἶπαι „ἄνδρες Πέρσαι, νῦν τις διαδεξάτω ὑμέων βασιλέος κηδόμενος· ἐν ὑμῖν γὰρ οἷκε εἶναι ἐμοὶ ἡ σωτηρίη." τὸν μὲν ταῦτα λέγειν, τοὺς δὲ προσκυνέοντας ἐκπηδᾶν ἐς τὴν θάλασσαν, καὶ τὴν νέα ἐπικουφισθεῖσαν οὕτω δὴ ἀποσωθῆναι ἐς τὴν Ἀσίην. ὡς δὲ ἐκβῆναι τάχιστα ἐς γῆν τὸν Ξέρξεα, ποιῆσαι τοιόνδε· ὅτι μὲν ἔσωσε βασιλέος τὴν ψυχήν, δωρήσασθαι χρυσέῃ στεφάνῃ τὸν κυβερνήτεα, ὅτι δὲ Περσέων πολλοὺς ἀπώλεσε, ἀποτα-
119 μεῖν τὴν κεφαλὴν αὐτοῦ. οὗτος δὲ ἄλλος λέγεται λόγος περὶ τοῦ Ξέρξεω νόστου, οὐδαμῶς ἔμοιγε πιστός, οὔτε ὁ ἄλλος οὔτε Περσέων τοῦτο τὸ πάθος. εἰ γὰρ δὴ ταῦτα οὕτω εἰρέθη ἐκ τοῦ κυβερνήτεω πρὸς Ξέρξεα, ἐν μυ-

118. Konstr. *ἄλλος λόγος* ('als andere Erzählung') *ἔστι λεγόμενος* (=*λέγεται*) *ὅδε*. Aehnlich c. 119 1.

3. *τὴν ἐπὶ Στρυμόνι*: zu VII 25 11. — Zum Plural *ὁδοιπορίῃσι* vgl. III 52 8.

5. *ἐπὶ νεὸς-ἐπιβάς*: unten c. 120 9 *ἐπιβῆναι ἐπὶ τὴν νέα*. Vgl. zu V 12 11.

7. *Στρυμονίην*: Arist. de ventis *Θρᾳκίας κατὰ μὲν Θρᾴκην Στρυμονίας· πνεῖ γὰρ ἀπὸ τοῦ Στρυμόνος ποταμοῦ.* — *ὑπολαβεῖν*: vgl. zu VI 27 6.

8. *χειμαίνεσθαι, τὸν βασιλέα*. Aesch. Ag. 179 *πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι Κακόσχολοι, νήστιδες, δύσορμοι βροτῶν ἄλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς.*

15. *τις*: zu VI 9 14.

16. *ἐν ὑμῖν*: zu III 85 9.

119. *δέ*, erneuert aus c. 118 1. Zu IV 154 1.

ῥίῃσι γνώμῃσι μίαν οὐκ ἔχω ἀντίξοον, μὴ οὐκ ἂν ποιῆσαι βασιλέα τοιόνδε, τοὺς μὲν ἐκ τοῦ καταστρώματος καταβιβάσαι ἐς κοίλην νέα ἐόντας Πέρσας καὶ Περσέων τοὺς πρώτους, τῶν δ' ἐρετέων ἐόντων Φοινίκων ὅκως οὐκ ἂν ἴσον πλῆθος τοῖσι Πέρσῃσι ἐξέβαλε ἐς τὴν θάλασσαν. ἀλλ' ὁ μέν, ὡς καὶ πρότερόν μοι εἴρηται, ὁδῷ χρεόμενος ἅμα τῷ ἄλλῳ στρατῷ ἀπενόστησε ἐς τὴν Ἀσίην. μέγα δὲ καὶ τόδε μαρτύριον· φαίνεται γὰρ Ξέρξης ἐν τῇ ὀπίσω κομιδῇ ἀπικόμενος ἐς Ἄβδηρα καὶ ξεινίην τέ σφι συνθέμενος καὶ δωρησάμενος αὐτοὺς ἀκινάκῃ τε χρυσέῳ καὶ τιήρῃ χρυσοπάστῳ. καὶ ὡς αὐτοὶ λέγουσι Ἀβδηρῖται, λέγοντες ἔμοιγε οὐδαμῶς πιστά, πρῶτον ἐλύσατο τὴν ζώνην φεύγων ἐξ Ἀθηνέων ὀπίσω, ὡς ἐν ἀδείῃ ἐών. τὰ δὲ Ἄβδηρα ἵδρυται πρὸς τοῦ Ἑλλησπόντου μᾶλλον ἢ τοῦ Στρυμόνος καὶ τῆς Ἠιόνος, ὅθεν δή μίν φασι ἐπιβῆναι ἐπὶ τὴν νέα.

5. 'Unter Zehntausend, die darüber ihre Meinung abzugeben hätten, wird nicht einer sich dagegen erklären'. Bei *γνώμῃσι* denkt H. an eine berathende und beschliefsende Versammlung (vgl. c. 49 6).

7. *ἐς κοίλην νέα*, wo die beiden unteren Reihen der Ruderer (die *θαλάμιοι* und *ζυγῖται*) safsen. Vgl. zu VII 184 31.

8 f. *ὅκως οὐκ ἂν - ἐξέβαλε*: der Parallelismus zu *καταβιβάσαι* fordert eigentlich blofs *ἐκβαλεῖν*. H. gebt aber, nach seiner Weise (vgl. zu c. 116 7), bei diesem zweiten Gliede aus der appositiven in die selbständige Fügung des Hauptsatzes (*μὴ οὐκ ἂν ποιῆσαι*) zurück, nur dafs er statt des Infinitivs (*μὴ οὐκ ἂν - ἐκβαλεῖν*) die Konstruktion mit *ὅκως* wählt, die auch oben möglich war (*ὅκως οὐκ ἂν ἐποίησεν*).

120. *τόδε* bezieht sich nicht auf die Ankunft in Abdera, sondern auf die Lage dieser Stadt (7). *φαίνεται γὰρ* ... ist eine diesen beweisenden Umstand einleitende Erklärung. Vgl. zu III 31 3.

3. Vgl. VII 116.

6. *ἐλύσατο τὴν ζώνην*: vgl. V 106 Histiaeos *ἐπόμνυμι - μὴ μὲν πρότερον ἐκδύσεσθαι τὸν ἔχων κιθῶνα καταβήσομαι ἐς Ἰωνίην πρὶν ἂν κτέ.*

7 f. *τὰ δέ*: zu I 124 8. — *πρὸς - μᾶλλον, propius ab.* Vgl. zu c. 87 8. — Der seltsame und bestrittene pleonastische Gebrauch des *ἤ* vor dem komparativen Genitiv ist für diese Stelle nicht abzuweisen, so dafs also *ἢ τοῦ Στρυμόνος καὶ τῆς Ἠιόνος* = *ἢ ὁ Στρυμών καὶ ἡ Ἠιών*. Denn wollte man die Genitive durch Fortwirkung des *πρός* ('näher zum Hellespont als zum Strymon u. s. w.') erklären, so wäre die daraus folgende Angabe einmal falsch — denn Abdera liegt weit näher zum Strymon — und auch für das zu beweisende gleichgültig. Denn sieht auf die beiderseitigen Distanzen Abdera's vom Hellespont und vom Strymon und deren Ungleichheit kommt es hier an, sondern nur darauf dafs die Stadt, die Xerxes thatsächlich berührte, auf der Strafse zum Helles-

121 Οἱ δὲ Ἕλληνες ἐπείτε οὐκ οἷοί τε ἐγένοντο ἐξελεῖν τὴν Ἄνδρον, τραπόμενοι ἐς Κάρυστον καὶ δηιώσαντες αὐτῶν τὴν χώρην ἀπαλλάσσοντο ἐς Σαλαμῖνα. πρῶτα μέν νυν τοῖσι θεοῖσι ἐξεῖλον ἀκροθίνια ἄλλα τε καὶ τριήρεας τρεῖς Φοινίσσας, τὴν μὲν ἐς Ἰσθμὸν ἀναθεῖναι, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν, τὴν δὲ ἐπὶ Σούνιον, τὴν δὲ τῷ Αἴαντι αὐτοῦ ἐς Σαλαμῖνα. μετὰ δὲ τοῦτο διεδάσαντο τὴν λείην καὶ τὰ ἀκροθίνια ἀπέπεμψαν ἐς Δελφούς, ἐκ τῶν ἐγένετο ἀνδριὰς ἔχων ἐν τῇ χειρὶ ἀκρωτήριον νεός, ἐὼν μέγαθος δυώδεκα πηχέων· ἕστηκε δὲ οὗτος τῇ περ ὁ Μακεδὼν Ἀλέξανδρος ὁ χρύ-
122 σεος. πέμψαντες δὲ ἀκροθίνια οἱ Ἕλληνες ἐς Δελφοὺς ἐπειρώτεον τὸν θεὸν κοινῇ εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ τὰ ἀκροθίνια. ὁ δὲ παρ' Ἑλλήνων μὲν τῶν ἄλλων ἔφησε ἔχειν, παρ' Αἰγινητέων δὲ οὔ, ἀλλ' ἀπαίτεε αὐτοὺς τὰ ἀριστήια τῆς ἐν Σαλαμῖνι ναυμαχίης. Αἰγινῆται δὲ πυθόμενοι ἀνέθεσαν ἀστέρας χρυσέους, οἳ ἐπὶ

pont sehon jenseits des Strymon liegt, um es unwahrscheinlich zu machen, dafs der König dennoch von der Strymon-mündung aus in See gegangen. Verschieden sind Fälle wie VII 26 13.

Beute und Weihgaben. Ehrenpreise. Themistokles in Sparta (c. 121—125).

121. ἐξελεῖν - ἐξεῖλον (4): zu c. 88 10.

3. αὐτῶν, wie I 16 7.

5. ἐς Ἰσθμόν, dem dort verehrten Poseidon; ἐπὶ Σούνιον, der Athene. Zum Brauche vgl. Thuk. II 84 Ἀθηναῖοι - τρόπαιον στήσαντες ἐπὶ τῷ Ῥίῳ καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι ἀνεχώρησαν, 92 καὶ ἥνπερ ἔλαβον ναῦν ἀνέθεσαν ἐπὶ τὸ Ῥίον. — ἀναθεῖναι, an ἐξεῖλον angeschlossen. Vgl. zu VII 25 4.

7. Nach αὐτοῦ würde man ἐν Σαλαμῖνι erwarten oder statt desselben αὐτόσε.

8. τὰ ἀκροθίνια, die s. g. δεκάτη, die bei der Vertheilung für die Götter abgesondert wurde; s. V 77 21. VII 132 9. VIII 27 20 (wo auch vom Artikel). — ἀπέπεμψαν: zu I 14 3. Vgl. c. 122 4 ἀπαίτεε.

9. ἀνδριάς, gewifs einen Apollon. Paus. X 14 5 ἀνέθεσαν δὲ καὶ ἐς Δελφοὺς Ἀπόλλωνα ἀπὸ ἔργων τῶν ἐν ταῖς ναυσὶν ἐπί τε Ἀρτεμισίῳ καὶ ἐν Σαλαμῖνι. Den Namen verschweigt H. wie c. 27 21.

11. Phil. Epist. 21 (Demosth. XII 164) Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος τὸν τόπον (se. Ἀμφίπολιν), ὅθεν καὶ τῶν αἰχμαλώτων Μήδων ἀπαρχὴν ἀνδριάντα χρυσοῦν ἀνέστησεν εἰς Δελφούς.

122. 4. ἀλλ', anschliefsend an οὐ (näml. οὐκ ἔφησε ἔχειν).

5 ff. ἀριστήια: der Gott will selber thätigen Antheil am Siege gehabt haben und verlangt dafür seinen Ehrenlohn. Vermuthlich war ein ihm zugeschriebenes günstiges Wunderzeichen dem aegin. Geschwader begegnet. Vgl. Plut. Lys. 12 ἦσαν δέ τινες οἳ τοὺς Διοσκούρους ἐπὶ τῆς

ἱστοῦ χαλκέου ἑστᾶσι τρεῖς ἐπὶ τῆς γωνίης, ἀγχοτάτω τοῦ Κροίσου κρητῆρος. μετὰ δὲ τὴν διαίρεσιν τῆς 123
λιήης ἔπλωον οἱ Ἕλληνες ἐς τὸν Ἰσθμὸν ἀριστήια δώσοντες τῷ ἀξιωτάτῳ γενομένῳ Ἑλλήνων ἀνὰ τὸν πόλεμον τοῦτον. ὡς δὲ ἀπικόμενοι οἱ στρατηγοὶ διενέμοντο τὰς ψήφους ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ, τὸν πρῶτον καὶ τὸν δεύτερον κρίνοντες ἐκ πάντων, ἐνθαῦτα πᾶς τις αὐτῶν ἑωυτῷ ἐτίθετο τὴν ψῆφον, αὐτὸς ἕκαστος δοκέων ἄριστος γενέσθαι, δεύτερα δὲ οἱ πολλοὶ συνεξέπιπτον Θεμιστοκλέα κρίνοντες. οἱ μὲν δὴ ἐμουνοῦντο, Θεμιστοκλέης δὲ δευτερείοισι ὑπερεβάλλετο πολλόν. οὐ βουλομένων δὲ ταῦτα κρίνειν τῶν Ἑλλήνων 124
φθόνῳ, ἀλλ' ἀποπλωόντων ἑκάστων ἐς τὴν ἑωυτῶν ἀκρίτων, ὅμως Θεμιστοκλέης ἐβώσθη τε καὶ ἐδοξώθη

Ανσάνδρου νεὼς (bei Aegospotamoi) *ἐκατέρωθεν, ὅτε τοῦ λιμένος ἐξέπλει πρῶτον ἐπὶ τοὺς πολεμίους, ἄστρα τοῖς οἴαξιν ἐπιλάμψαι λέγοντες.* Cic. de divin. I 75 *stellaeque aureae, quae Delphis erant a Lacedaemoniis positae post navalem illam victoriam Lysandri, qua Athenienses eoneiderunt: qua in pugna quia Castor et Pollux cum Lacedaemoniorum classe visi esse dicebantur, eorum insignia deorum, stellae aureae cet.* — *τρεῖς*, se. *ἑόντες*. Vgl. VII 40 10. Sie repräsentirten die Dioskuren und als Dritten den von den Aegineten verehrten *Ἀπόλλων Δελφίνιος*, von deren Wesen und Symbolen als Schutzgöttern in Sturm und Gefahr Preller gr. Myth. I² 200. II² 105 ff. Man hat sich einen und zwar einen gröfseren auf dem Top des Mastes und zwei kleinere an den Enden einer Raa zu denken. — *ἐπὶ τῆς γωνίης*, se. *τοῦ προνηίου*. S. I 51 9.

123. 2. *ἐς τὸν Ἰσθμόν*: zu VII 145 2.

4. *διενέμοντο*, 'da sie die Stimmsteine unter sich vertheilen', d. i. diesem und jenem aus ihrer Mitte den ersten oder zweiten Preis zuertheilen sollten. *διανέμεσθαι ψῆφον* ist eine sonst nicht übliche, aber für die lokale Sachlage glücklich versuchte Redeweise. Unter den üblichen steht am nächsten *διαφέρειν ψήφους* (IV 138 2). Jeder schrieb zwei Namen auf sein Täfelchen, von denen der erste die *πρωτεῖα*, der andere die *δευτερεῖα* erhalten sollte.

8. *δεύτερα*, adverbial.

9. *συνεξέπιπτον*: zu V 22 11. VIII 49 7.

10. *πολλόν*: zu V 1 18.

124. *ταῦτα*, das Resultat, wonach die Stimmen über den ersten Preis sich über Alle versplittert, beim zweiten aber mit grofser Mehrheit sich auf Themistokles gesammelt hatten, so dafs in Wahrheit dieser als erster Sieger aus der Abstimmung hervorging. Plut. Them. 17 *Θεμιστοκλεῖ δὲ καίπερ ἄκοντες ὑπὸ φθόνου τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες.*

2. *φθόνῳ*: vgl. den Ausspruch VII 236 7.

3. *ἀκρίτων*, mit aktivem Sinne, wie *ἄπιστος* (IX 98 22) *ἄπρακτος ἀναμάρτητος* u. dgl. Plut. mor. 871 sagt dafür *τέλος τῆς κρίσεως μὴ*

εἶναι ἀνὴρ πολλὸν Ἑλλήνων σοφώτατος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα. ὅτι δὲ νικέων οὐκ ἐτιμήθη πρὸς τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, αὐτίκα μετὰ ταῦτα ἐς Λακεδαίμονα ἀπίκετο ἐθέλων τιμηθῆναι· καί μιν Λακεδαιμόνιοι καλῶς μὲν ὑπεδέξαντο, μεγάλως δὲ ἐτίμησαν. ἀριστήια μέν νυν ἔδοσαν.. Εὐρυβιάδῃ ἐλαίης στέφανον, σοφίης δὲ καὶ δεξιότητος Θεμιστοκλέι καὶ τούτῳ στέφανον ἐλαίης. ἐδωρήσαντο δέ μιν ὄχῳ τῷ ἐν Σπάρτῃ καλλιστεύοντι. αἰνέσαντες δὲ πολλά, προέπεμψαν ἀπιόντα τριηκόσιοι Σπαρτιητέων λογάδες, οὗτοι οἵπερ ἱππέες καλέονται, μέχρι οὔρων τῶν Τεγεητικῶν. μοῦνον δὴ τοῦτον πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν Σπαρτιῆται
125 προέπεμψαν. ὡς δὲ ἐκ τῆς Λακεδαίμονος ἀπίκετο ἐς τὰς Ἀθήνας, ἐνθαῦτα Τιμόδημος Ἀφιδναῖος τῶν ἐχθρῶν μὲν τῶν Θεμιστοκλέος ἐών, ἄλλως δὲ οὐ τῶν ἐπιφανέων ἀνδρῶν, φθόνῳ καταμαργέων ἐνείκεε τὸν Θεμιστοκλέα, τὴν ἐς Λακεδαίμονα ἄπιξιν προφέρων, ὡς διὰ τὰς Ἀθήνας ἔχοι τὰ γέρεα τὰ παρὰ Λακεδαιμονίων, ἀλλ' οὐ δι' ἑωυτόν. ὁ δέ, ἐπείτε οὐκ ἐπαύετο ταῦτα λέγων ὁ Τιμόδημος, εἶπε „οὕτω ἔχει τοι· οὔτ' ἂν ἐγὼ ἐὼν Βελβινίτης ἐτιμήθην οὕτω πρὸς Σπαρτιητέων, οὔτ'

λαβούσης. — ἐβώσθη: zu III 39 11.

9. Ausgefallen ist etwa ἀνδραγαθίης. Valla übersetzt *primas partes* (ἀριστήια) *rei bene gestae.* Plut. Them. 17 Λακεδαιμόνιοι δ' εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν.

10. καὶ τούτῳ, *et ipsi.*

12. αἰνέσαντες: Subjekt ist Λακεδαιμόνιοι. Dies wird aber im Hauptsatze beschränkt auf τριηκόσιοι Σπαρτιητῶν. So hätte also eigentlich αἰνεσάντων eintreten sollen. Vgl. zu c. 44 1.

13. S. zu I 67 24. An die Stelle der bei Thermopylae Gefallenen (VII 207 10) waren also schon neue gewählt.

14. μοῦνον δή: zum Asyndeton vgl. VI 21 7. δή intensiv bei μοῦνος auch I 25 7. IX 27 30. 35 6, wie oft bei Superlativen.

15. Thuk. I 74 der otheo. Redner io Sparta: καὶ αὐτοὶ διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε (Θεμιστοκλέα) ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων.

125. 2. Ἀφιδναῖος: zu IX 73 11.

4. Bei den Verhandlungen über die Anträge des Mardonios (c. 136 ff) und den Vorstellungen der Spartiaten (c. 141 ff.), bei denen Them. sicherlich auf belleoischer Seite stand, mag auch sein persönliches Verhältnis zu Sparta mit in die Debatte gezogen sein.

8. οὕτω ἔχει τοι, wie VI 1 9.

9. Βελβινίτης, von der kleinen Felseninsel Βέλβινα, j. St. Georg

ἂν σὺ ὤνθρωπε ἐὼν Ἀθηναῖος.“ ταῦτα μέν νυν ἐς το- 10
σοῦτο ἐγένετο.

Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος ἀνὴρ ἐν Πέρσῃσι λό- 126
γιμος καὶ πρόσθε ἐών, ἐκ δὲ τῶν Πλαταιικῶν καὶ μᾶλ-
λον ἔτι γενόμενος, ἔχων ἐξ μυριάδας στρατοῦ τοῦ Μαρ-
δόνιος ἐξελέξατο, προέπεμπε βασιλέα μέχρι τοῦ πόρου.
ὡς δὲ ὁ μὲν ἦν ἐν τῇ Ἀσίῃ, ὁ δὲ ὀπίσω πορευόμενος 5
κατὰ τὴν Παλλήνην ἐγίνετο, ἅτε Μαρδονίου τε χειμε-
ρίζοντος περὶ Θεσσαλίην τε καὶ Μακεδονίην καὶ οὐδέν
κω κατεπείγοντος ἥκειν ἐς τὸ ἄλλο στρατόπεδον, οὐκ
ἐδικαίευ ἐντυχὼν ἀπεστεῶσι Ποτιδαιήτῃσι μὴ οὐκ ἐξαν-
δραποδίσασθαί σφεας. οἱ γὰρ Ποτιδαιῆται, ὡς βασι- 10
λεὺς παρεξεληλάκεε καὶ ὁ ναυτικὸς τοῖσι Πέρσῃσι οἰ-
χώκεε φεύγων ἐκ τῆς Σαλαμῖνος, ἐκ τοῦ φανεροῦ ἀπέ-

(Ἅγιος Γεώργιος), etwa zwei Meilen südl. von Sunion, im Eingang zum saron. Mb., mit einem kleinen aber selbständigen Gemeinwesen (Skylax 51. Att. Tributl. 134 f). Sie ist hier als ein hellenisches Kräbwinkel, als Beispiel eines unbedeutenden namenlosen Ortes genannt (Teles bei Stob. Flor. XL 8 *καὶ ὀνειδίζουσι μὲν ὅτι Κύθνιος ὅτι Μυκόνιος ἢ ὅτι Βελβινίτης*), ohne Bezug auf den Angeredeten, der ja ein Aphidnaeer und demnach, wie auch der Zusammenhang fordert, ein Athener war. Der Sinn ist: 'ich wäre nicht geehrt worden wenn ich aus Belbina wäre, du nicht obgleich du (wie ich) ein Athener bist', wozu sich ergänzt 'wenn du an meiner Statt nach Sparta gekommen wärest'. Oder mit anderen Worten: 'allerdings habe ich es meiner Vaterstadt zu danken, dafs ich so ehrenvoll aufgenommen ward; denn als Belbiniten wäre mir das nicht widerfahren; — aber doch auch nicht meiner Vaterstadt allein; denn wärest du, der du doch auch ein Athener bist, hingekommen, wahrlich dir hätte man darum nicht solche Ehre erwiesen'. (Valla las besser *καὶ ἐὼν Ἀθηναῖος*). Vollständiger und schärfer als hier ist die Antithese in der öfter wiederholten aber weniger glaubwürdigen Fassung, die zuerst Plato mittheilt de rep. 329 *ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὃς τῷ Σεριφίῳ λοιδωρουμένῳ καὶ λέγοντι ὅτι οὐ δι' αὑτὸν ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοῖ, ἀπεκρίνατο ὅτι οὐδ' ἂν αὐτὸς Σερίφιος ὢν ὀνομαστὸς ἐγένετο οὐδ' ἐκεῖνος Ἀθηναῖος.*

Winter. Artabazos erobert Olynthos und belagert Potidaea (c. 126—129).

126. Ueber Artabazos berichtet und urtheilt der Vf. auch sonst (IX 41 f. 66. 89) mit so sichtlichem Wohlwollen und spezieller Kenntnifs, dafs auf eine nähere Bekanntschaft mit dem Hause des Mannes und vielleicht noch mit ihm selbst zu schliessen sein möchte (vgl. zu V 22 3). Art. besafs seit 476 die Satrapie von Daskyleion, worin ihm Sohn und Enkel folgten; einen anderen Sohn Tritautaechmes fand H. als Satrap in Babylon. S. zu VII 66 7.

9. *Ποτιδαιήτῃσι*: vgl. VII 123 6.

στασαν ἀπὸ τῶν βαρβάρων· ὡς δὲ καὶ ὅλλοι οἱ τὴν
127 Παλλήνην ἔχοντες. ἐνθαῦτα δὴ Ἀρτάβαζος ἐπολιόρκεε
τὴν Ποτίδαιαν, ὑποπτεύσας δὲ καὶ τοὺς Ὀλυνθίους
ἀπίστασθαι ἀπὸ βασιλέος, καὶ ταύτην ἐπολιόρκεε· εἶχον
δὲ αὐτὴν Βοττιαῖοι οἱ ἐκ τοῦ Θερμαίου κόλπου ἐξανα-
στάντες ὑπὸ Μακεδόνων. ἐπεὶ δέ σφεας εἶλε πολιορκέων,
κατέσφαξε ἐξαγαγὼν ἐς λίμνην, τὴν δὲ πόλιν παραδιδοῖ
Κριτοβούλῳ Τορωναίῳ ἐπιτροπεύειν καὶ τῷ Χαλκιδικῷ
128 γένεϊ, καὶ οὕτω Ὄλυνθον Χαλκιδέες ἔσχον. ἐξελὼν δὲ
ταύτην ὁ Ἀρτάβαζος τῇ Ποτιδαίῃ ἐντεταμένως προσεῖχε·
προσέχοντι δέ οἱ προθύμως συντίθεται προδοσίην Τι-
μόξεινος ὁ τῶν Σκιωναίων στρατηγός, ὄντινα μὲν τρό-
πον ἀρχήν, ἔγωγε οὐκ ἔχω εἰπαι (οὐ γὰρ ὧν λέγεται),
τέλος μέντοι τοιάδε ἐγίνετο· ὅκως βιβλίον γράψειε ἢ
Τιμόξεινος ἐθέλων παρ' Ἀρτάβαζον πέμψαι ἢ Ἀρτάβα-
ζος παρὰ Τιμόξεινον, τοξεύματος παρὰ τὰς γλυφίδας
περιειλίξαντες καὶ πτερώσαντες τὸ βιβλίον ἐτόξευον ἐς
συγκείμενον χωρίον. ἐπάιστος δὲ ἐγένετο ὁ Τιμόξεινος
προδιδοὺς τὴν Ποτίδαιαν· τοξεύων γὰρ ὁ Ἀρτάβαζος
ἐς τὸ συγκείμενον, ἁμαρτὼν τοῦ χωρίου τούτου βάλλει

127. 3. *ταύτην*, auf *Ὀλυνθίους* bezogen. Der umgekehrte Fall oben c. 121 3.

4. *Βοττιαῖοι*: zu VII 123 21.

7. *τῷ Χαλκιδικῷ γένεϊ*, den Einwohnern der chalkidischen Kolonien, nach denen die ganze Halbinsel bis zum strymonischen Mb. *Χαλκιδική* hiefs. Später ward Olynthos der Mittelpunkt und Vorort aller dieser beiden. Küstenplätze (Thuk. I 58). Die Bottiaeer aber verschmolzen allmälig mit den Ansiedlern, mit denen sie im pelop. Kriege durchgängig verbunden auftreten (Thuk. I 57 f. II 79 99. 101. IV 7).

128. 2. *τῇ Ποτιδαίῃ*: eig. *τῆς Ποτιδαίης τῇ πολιορκίῃ*.

3. *προθύμως*, für *ἐντεταμένως* variirt.

4. *Σκιωναίων*, die eine Hilfstruppe geschickt hatten. Die Städte auf Pallene bildeten einen Bund (17).

6. *ὅκως-γράψειε*: zu I 17 10.

8. *παρά*, ober- oder unterhalb der beiden Kerben, die am Schaftende des Pfeiles eingeschnitten den anziehenden Mittel- und Zeigefingern als Halte dienten. Der auf *βιβλίον* bezogene Zusatz *πτερώσαντες* zeigt dafs das Endstück unter den Kerben gemeint ist, das mit der Schriftrolle aus Leder oder Bast umwickelt und dann, sowohl um es zu verdecken als um das vermehrte Gewicht auszugleichen, rings mit Federn umlegt wurde. (Bei der La. *περί*, Aeneas Takt. 31, müfste man sich die Kerben selber umwickelt denken, wobei aber der Pfeil unhandlich würde und *πτερώσαντες βιβλίον* nicht mehr erklärlich wäre.)

10. *ἐπάιστος δὲ ἐγένετο*: zu c. 103 5.

ἀνδρὸς Ποτιδαιήτεω τὸν ὦμον, τὸν δὲ βληθέντα περιέδραμε ὅμιλος, οἷα φιλέει γίνεσθαι ἐν πολέμῳ, οἳ αὐτίκα τὸ τόξευμα λαβόντες, ὡς ἔμαθον τὸ βιβλίον, ἔφερον ἐπὶ τοὺς στρατηγούς· παρῆν δὲ καὶ τῶν ἄλλων Παλληναίων συμμαχίη. τοῖσι δὲ στρατηγοῖσι ἐπιλεξαμένοισι τὸ βιβλίον καὶ μαθοῦσι τὸν αἴτιον τῆς προδοσίης ἔδοξε μὴ καταπλέξαι Τιμόξεινον προδοσίῃ τῆς Σκιωναίων πόλιος εἵνεκεν, μὴ νομιζοίατο εἶναι Σκιωναῖοι ἐς τὸν μετέπειτεν χρόνον αἰεὶ προδόται. ὁ μὲν δὴ τοιούτῳ **129** τρόπῳ ἐπάιστος ἐγένετο· Ἀρταβάζῳ δὲ ἐπειδὴ πολιορκέοντι ἐγεγόνεσαν τρεῖς μῆνες, γίνεται ἄμπωτις τῆς θαλάσσης μεγάλη καὶ χρόνον ἐπὶ πολλόν. ἰδόντες δὲ οἱ βάρβαροι τέναγος γενόμενον παρήισαν ἐς τὴν Παλλήνην. ὡς δὲ τὰς δύο μὲν μοίρας διωδοιπορήκεσαν, ἔτι δὲ τρεῖς ὑπόλοιποι ἦσαν, τὰς διελθόντας χρῆν ἔσω εἶναι ἐν τῇ Παλλήνῃ, ἐπῆλθε πλημυρὶς τῆς θαλάσσης μεγάλη, ὅση οὐδαμά κω, ὡς οἱ ἐπιχώριοι λέγουσι, πολλάκις γενομένη. οἱ μὲν δὴ νέειν αὐτῶν οὐκ ἐπιστάμενοι διεφθείροντο, τοὺς δὲ ἐπισταμένους Ποτιδαιῆται ἐπιπλώσαντες πλοίοισι ἀπώλεσαν. αἴτιον δὲ λέγουσι Ποτιδαιῆται τῆς τε ῥηχίης καὶ τῆς πλημυρίδος καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε, ὅτι τοῦ Ποσειδέωνος ἐς τὸν νηὸν καὶ τὸ ἄγαλμα τὸ ἐν τῷ προαστείῳ ἠσέβησαν οὗτοι τῶν Περσέων οἵπερ καὶ διεφθάρησαν ὑπὸ τῆς θαλάσσης. αἴτιον δὲ τοῦτο λέγοντες εὖ λέγειν ἔμοι-

15. ἔμαθον: zu VII 37 10.

17. συμμαχίη: zu I 77 16.

19. καταπλέξαι, synonym mit καταδῆσαι 'verurtheilen'. Dabei der Dativ προδοσίῃ, nach der ursprünglichen Bedeutung, *proditionis crimine implicare*. Die Analogie von καταδῆσαι (II 174 13. IV 68 16) od. καταγνῶναι (VI 2 8) hätte den Infinitiv (προδοῦναι) erheischt.

129. 5. παρήισαν, längs der trockengelegten Küste. Die Stadt reichte über den ganzen Isthmos von Meer zu Meer, und war von dieser Seite wohl nur schwach befestigt (Thuk. I 63).

6. τὰς δύο: zu I 18 4. — μοίρας, τοῦ τενάγεος.

7 f. τὰς-Παλλήνῃ 'die man durchschreiten mufste um nach Pallene hineinzukommen'.

10. πολλάκις γενομένη: vgl. zu VII 198 3.

13. τε-καί, bei synonymen Begriffen; zu V 4 9.

16. οἵπερ καί: zu II 25 6.

17. Die wunderbare Bethätigung des göttlichen Zornes ist aber auch

γε δοκέουσι. τοὺς δὲ περιγενομένους ἀπῆγε Ἀρτάβαζος ἐς Θεσσαλίην παρὰ Μαρδόνιον. οὗτοι μὲν οἱ προ-
20 πέμψαντες βασιλέα οὕτω ἔπρηξαν.

130 Ὁ δὲ ναυτικὸς ὁ Ξέρξεω περιγενόμενος, ὡς προσέμιξε τῇ Ἀσίῃ φεύγων ἐκ Σαλαμῖνος καὶ βασιλέα τε καὶ τὴν στρατιὴν ἐκ Χερσονήσου διεπόρθμευσε ἐς Ἄβυδον, ἐχειμέρισε ἐν Κύμῃ. ἔαρος δὲ ἐπιλάμψαντος πρώιος
5 συνελέγετο ἐς Σάμον· αἱ δὲ τῶν νεῶν καὶ ἐχειμέρισαν αὐτοῦ· Περσέων δὲ καὶ Μήδων οἱ πλεῦνες ἐπεβάτευον. στρατηγοὶ δέ σφι ἐπῆλθον Μαρδόντης τε ὁ Βαγαίου καὶ Ἀρταΰντης ὁ Ἀρταχαίεω· συνῆρχε δὲ τούτοισι καὶ ἀδελφιδέος αὐτοῦ Ἀρταΰντεω προσελομένου Ἰθαμίτρης.
10 ἅτε δὲ μεγάλως πληγέντες, οὐ προήισαν ἀνωτέρω τὸ πρὸς ἑσπέρης, οὐδ' ἐπηνάγκαζε οὐδὲ εἷς, ἀλλ' ἐν τῇ Σάμῳ κατήμενοι ἐφύλασσον τὴν Ἰωνίην μὴ ἀποστῇ, νέας ἔχοντες σὺν τῇσι Ἰάσι τριηκοσίας. οὐ μὲν οὐδὲ προσεδέκοντο τοὺς Ἕλληνας ἐλεύσεσθαι ἐς τὴν Ἰωνίην
15 ἀλλ' ἀποχρήσειν σφι τὴν ἑωυτῶν φυλάσσειν, σταθμεύ-

chen für den gläubigen Vf. Grund genug die an sich unbedeutende Episode einzurücken.

20. *οὕτω ἔπρηξαν*: zu VII 18 11.

Frühjahr 479. Die persische Flotte bei Samos, die hellenische bei Aegina. Leutychides und seine Ahnen. Ionische Gesandte; Auffahrt bis Delos (c. 130—132).

130. *ὁ ναυτικός*, se. *στρατός* (c. 131 3). Häufiger ist die Ellipse bei *ὁ πεζός* (III 25 9. VII 41 7. 84 3. 96 4. 121 9. IX 32 10). — Die Stellung von *Ξέρξεω* ist abnorm. Der Artikel gehört zu *περιγενόμενος*.

4. *ἐπιλάμψαντος*: zu I 190 3. Dieselbe Metapher bei *πρώιος*.

5. *αἱ δέ*, nach Diod. IX 27 die phoenikischen.

6. *οἱ πλεῦνες ἐπεβάτευον*, seltsam für *οἱ πλεῦνες τῶν ἐπιβατέων* od. *ἐπιβατευόντων ἦσαν*, oder aber *Πέρσαι καὶ Μῆδοι οἱ πλεῦνες ἐπεβάτευον*.

7. *Μαρδόντης*: er befehligte die Epibaten, die beiden Anderen die Flotte (IX 102 23ff.).

8. *Ἀρταχαίεω*, wohl der VII 22 7. 63 9. 117 3 erwähnte.

9. *ἀδελφιδέος*, des Artayntes.

10f. *πληγέντες*: zu V 21 7. — *τὸ πρὸς ἑσπέρης*, vom Standpunkte des Erzählers konstruirt; ebenso c. 132 18 (vgl. 20). Vom adverbialen Ausdruck zu IV 99 1.

12. *κατήμενοι*: zu I 46 1. Dasselbe Wort IX 90 3 von der hellen. Flotte bei Delos.

13. Diod. XI 27, der hier wie im anderen dem H. nacherzählt, sagt *ἦσαν δὲ αἱ πᾶσαι νῆες ἐν Σάμῳ πλείους τῶν τετρακοσίων*. Die phoenikische Abtheilung war von hier heimgeschickt (IX 96 7) und kommt daher in Abzug.

*μενοι ὅτι σφέας οὐκ ἐπεδίωξαν φεύγοντας ἐκ Σαλαμῖνος ἀλλ᾽ ἄσμενοι ἀπαλλάσσοντο. κατὰ μέν νυν τὴν θάλασσαν ἐσσωμένοι ἦσαν τῷ θυμῷ, πεζῇ δὲ ἐδόκεον πολλὸν κρατήσειν τὸν Μαρδόνιον. ἐόντες δὲ ἐν Σάμῳ ἅμα μὲν ἐβουλεύοντο εἴ τι δυναίατο κακὸν τοὺς πολε- 20
μίους ποιέειν, ἅμα δὲ καὶ ὠτακούστεον ὅκη πεσέεται τὰ Μαρδονίου πρήγματα.*

Τοὺς δὲ Ἕλληνας τό τε ἔαρ γενόμενον ἤγειρε καὶ 131
*Μαρδόνιος ἐν Θεσσαλίῃ ἐών. ὁ μὲν δὴ πεζὸς οὔκω συνελέγετο, ὁ δὲ ναυτικὸς ἀπίκετο ἐς Αἴγιναν, νέες ἀριθμὸν δέκα καὶ ἑκατόν. στρατηγὸς δὲ καὶ ναύαρχος ἦν Λευτυχίδης ὁ Μενάρεος τοῦ Ἡγησίλεω τοῦ Ἱπποκρατίδεω τοῦ Λευτυχί- 5
δεω τοῦ Ἀναξίλεω τοῦ Ἀρχιδήμου τοῦ Ἀναξανδρίδεω τοῦ Θεοπόμπου τοῦ Νικάνδρου τοῦ Χαρίλλου τοῦ Εὐνόμου τοῦ Πολυδέκτεω τοῦ Πρυτάνιος τοῦ Εὐρυπῶντος τοῦ Προκλέος τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου*

17. *ἄσμενοι ἀπαλλάσσοντο*, sc. *ἐκ τῆς ναυμαχίης*. Erwarteten sie doch für den folgenden Tag eine Erneuerung des Kampfes (c. 96 3).

131. *ἤγειρε*, *excitavit*. S. oben c. 130 12 *κατήμενοι*.

5 ff. Vgl. die Aufzählung der Agiaden VII 204. Die hiesige Reihe der Eurypontiden enthält nur bis auf Theopompos die regierenden Könige; die übrigen Glieder von Anaxandrides bis Menares abwärts stellen eine jüngere Linie dar, die, nach der Entsetzung des Demaretos, mit Leutychides zur Regierung kam (zu VI 65 2).

Theopompos.

Archidemos	Anaxandrides
Zeuxidemos	Archidemos
Anaxidemos	Anaxileos
Archidemos	Leutychides

Hegesikles	Hippokratides
Ariston	Hegesileos (Agis)
Demaretos	Menares
	Leutychides
	Zeuxidemos
	Archidemos.

7 f. *Χάριλλος*, von *χάρις*, wie *χύριος Κίριλλος*, *μέγας Μέγιλλος*, *Ἥρα Ἥριλλος*. Sonst *Χαρίλαος* (*-λεως*). Aehnlicher Wechsel zwischen *Πέριλλος* u. *Περίλαος* (Lobeck. Prolegg. 119). — *Εὐνόμου τοῦ Πολυδέκτεω*: bei Paus. III 7 2. Plut. Lyk. 1 ist die Folge umgekehrt.

8. *Εὐρυπῶντος*, nach welchem das Haus *οἱ Εὐρυπωντίδαι* hiefs. Hinter ihm fehlt *Σόος*, den Paus. u. Plut. a. O. hier einrücken, wohl blofs zufällig; denn nur, wenn derselbe mitgezählt wird, parallelisiren sich die Listen der beiden Häuser

τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέος, ἐὼν τῆς ἑτέρης οἰκίης τῶν βασιλέων. οὗτοι πάντες, πλὴν τῶν ἑπτὰ τῶν μετὰ Λευτυχίδεα πρώτων καταλεχθέντων, οἱ ἄλλοι βασιλέες ἐγένοντο Σπάρτης. Ἀθηναίων δὲ ἐστρατήγεε
132 Ξάνθιππος ὁ Ἀρίφρονος. ὡς δὲ παρεγένοντο ἐς τὴν Αἴγιναν πᾶσαι αἱ νέες, ἀπίκοντο Ἰώνων ἄγγελοι ἐς τὸ στρατόπεδον τῶν Ἑλλήνων, οἳ καὶ ἐς Σπάρτην ὀλίγῳ πρότερον τούτων ἀπικόμενοι ἐδέοντο Λακεδαιμονίων ἐλευθεροῦν τὴν Ἰωνίην· τῶν καὶ Ἡρόδοτος ὁ Βασιλείδεω ἦν. οἳ στασιῶται σφίσι γενόμενοι ἐπεβούλευον θάνατον Στράττι τῷ Χίου τυράννῳ, ἐόντες ἀρχὴν ἑπτά· ἐπιβουλεύοντες δὲ ὡς φανεροὶ ἐγένοντο ἐξενείκαντος τὴν ἐπιχείρησιν ἑνὸς τῶν μετεχόντων, οὕτω δὴ οἱ λοιποὶ ἐξ ἐόντες ὑπεξέσχον ἐκ τῆς Χίου καὶ ἐς Σπάρτην τε ἀπίκοντο καὶ δὴ καὶ τότε ἐς τὴν Αἴγιναν, τῶν Ἑλλήνων δεόμενοι καταπλῶσαι ἐς τὴν Ἰωνίην. οἳ προήγαγον αὐτοὺς μόγις μέχρι Δήλου· τὸ γὰρ προσωτέρω πᾶν δεινὸν ἦν τοῖσι Ἕλλησι οὔτε τῶν χώρων ἐοῦσι ἐμπείροισι, στρατιῆς τε πάντα πλέα ἐδόκεε εἶναι· τὴν δὲ Σάμον ἠπιστέατο δόξῃ καὶ Ἡρακλέας στήλας ἴσον ἀπέχειν. συνέπιπτε δὲ τοιοῦτο ὥστε τοὺς μὲν βαρβάρους τὸ πρὸς

derartig, dafs Leon und Hegesikles, Anaxandrides und Ariston Zeitgenossen werden, wie auch H. annimmt (I 65. 67).

11 f. *πλὴν τῶν δυῶν* die Hss., wonach Hippokratides, nicht Theopompos, der Stammvater der beiden Linien wäre. Aber H. nennt selber als Vater und Vorgänger des Königs Ariston nicht, wie er bei jener Lesart müfste, den Hippokratides, sondern, gerade wie Pausanias III 7 5, den Hegesikles (Agasikles, I 65 5). Der Abschreiber hat wie öfter die Zahlzeichen ζ und β verwechselt (vgl. zu II 140 8). Eine blofse Ungenauigkeit im Ausdruck aber ist es, wenn H. auch die Glieder vor Aristodemos zu den *βασιλέες Σπάρτης* zählt. — *πάντες πλὴν - οἱ ἄλλοι*, wie IV 121 5.

14. *Ξάνθιππος*, nicht zu vermischen mit dem Archon Eponymos des J. 479.

132. 5. *Ἡρόδοτος*: den Vorzug allein genannt zu sein verdankt er wohl einem verwandtschaftlichen oder gastfreundlichen Verhältnisse zum Vf., nicht nur der blofsen Namensgleichheit.

6. *στασιῶται - γενόμενοι*: sie waren also wohl aus verschiedenen Städten. Ihr Befreiungsplan begriff das ganze Ionien. — *σφίσι = ἀλλήλοις* (I 142 12).

7. *Στράττι*: zu IV 138 7.

8. *ἐξενείκαντος*: zu V 79 4.

10. *ὑπεξέσχον*: zu V 72 3.

14 f. *ἐοῦσι - ἐδόκεε*: zu I 85 5.

16. Ein übersteigerter Ausdruck

ἐσπέρης ἀνωτέρω Σάμου μὴ τολμᾶν καταπλῶσαι κατ-
αρρωδηκότας, τοὺς δὲ Ἕλληνας χρηιζόντων Χίων τὸ
πρὸς τὴν ἠῶ κατωτέρω Δήλου. οὕτω δέος τὸ μέσον
ἐφύλασσέ σφεων.

Οἱ μὲν δὴ Ἕλληνες ἔπλωον ἐς τὴν Δῆλον, Μαρ- 133
δόνιος δὲ περὶ τὴν Θεσσαλίην ἐχείμαζε. ἐνθεῦτεν δὲ ὁρ-
μεόμενος ἔπεμπε κατὰ τὰ χρηστήρια ἄνδρα Εὐρωμιέα
γένος, τῷ οὔνομα ἦν Μῦς, ἐντειλάμενος πανταχῇ μιν
χρησόμενον ἐλθεῖν, τῶν οἷά τε ἦν σφι ἀποπειρήσασθαι.
ὅ τι μὲν βουλόμενος ἐκμαθεῖν πρὸς τῶν χρηστηρίων
ταῦτα ἐνετέλλετο, οὐκ ἔχω φράσαι· οὐ γὰρ ὧν λέγεται·
δοκέω δ' ἔγωγε περὶ τῶν παρεόντων πρηγμάτων καὶ
οὐκ ἄλλων πέρι πέμψαι. οὗτος ὁ Μῦς ἔς τε Λεβά- 134
δειαν φαίνεται ἀπικόμενος καὶ μισθῷ πείσας τῶν ἐπι-
χωρίων ἄνδρα καταβῆναι παρὰ Τροφώνιον, καὶ ἐς

wie I 142 14. Nicht einmal von den Doriern wäre er ernstlich zu nehmen (s. III 47 ff.).

18. *καταπλῶσαι*: wohl nur vom Abschreiber versehen statt *ἀναπλῶσαι*. Jenes steht oben 12 von der entgegengesetzten Richtung und ist gleich unten zu *κατωτέρω* zu ergänzen.

Mardonios und die hellenischen Orakel; der Karer Mys (c. 133—136).

133. 3. *ὁρμεόμενος* 'von dort aus'. Vgl. zu V 94 10. — *κατά*: zu IV 2 10. — *Εὐρωμέα*, aus der kleinen karischen Stadt *Εὔρωμος* (auch *Ὕρωμος*). Karer als *ἄνδρες δίγλωσσοι* machen häufig die Dollmetscher zwischen Asiaten und Hellenen (Thuk. VIII 85. Xen. An. I 2 17 u. s.).

5. *τῶν*, eig. auf *πανταχῇ* zu beziehen, ist an *τὰ χρηστήρια* gefügt. — *οἷά τε ἦν, licebat, fas erat.* Vgl. zu I 29 9. — *σφι*, dem Mardonios und den Seinigen d. i. den Persern (c. 136 13), überhaupt den Barbaren, denen z. B. auch der Zutritt zu manchen Mysterien versagt war.

134. *Λεβάδεια*, am westl. Rande der Kopais-ebene, am rechten Ufer des Baches *Ἕρχυνα*. Das h. Livadiá, in türkischer Zeit die bedeutendste Stadt der nach ihr benannten Provinz, liegt am linken Ufer, etwas westlicher am Thurion-berg hinauf, wo sich einst die Orakelgrotte mit ihrem mannigfachen heiligen Zubehör befand.

3. Von Trophonios s. den gewöhnlichen Mythos zu II 121 ζ 9. Als *Ζεὺς Τροφώνιος* war er der Hauptgott von Lebadeia (Paus. I 34 2). Seinem Wesen wie seinem Namen (von *τρέφειν*) nach mit der chthonischen Demeter sowie mit Hermes verwandt (Cic. de nat. d. III 56 *Mercurius-alter Valentis et Coronidis filius, is qui sub terris habetur idem Trophonius*), ward er an den Quellen der *Ἕρχυνα* in einem Erdschlunde hausend gedacht (daher der übliche Ausdruck *καταβαίνειν παρὰ Τροφώνιον*). Seine von Praxiteles gefertigte Statue hatte die Attribute des Asklepios, besonders die Schlange, in deren Gestalt man

Ἄβας τὰς Φωκέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον, καὶ δὴ καὶ ἐς Θήβας πρῶτα ὡς ἀπίκετο, τοῦτο μὲν τῷ Ἰσμηνίῳ Ἀπόλλωνι ἐχρήσατο (ἔστι δέ, κατά περ ἐν Ὀλυμπίῃ, ἱροῖσι αὐτόθι χρηστηριάζεσθαι), τοῦτο δὲ ξεινόν τινα καὶ οὐ Θηβαῖον χρήμασι πείσας κατεκοίμησε ἐς Ἀμφιάρεω. Θηβαίων δὲ οὐδενὶ ἔξεστι μαντεύε-

iha wie es scheint ursprünglich vorstellte (Paus. IX 39 3 f. Schol. Ar. Nub. 508). Sein Orakel scheint vorzüglich von Kranken besucht worden zu sein. Paus. IX 39 5 ff. gibt aus eigener Anschauung ein Bild der Oertlichkeit und der Befragungsweise. Nach vielfachen Reinigungen Enthaltungen und Opfern, nach einem Bade in der Herkyna und einem Trunke aus den Quellen *Λήθη* und *Μνημοσύνη*, aus jener um des vergangenen Irdischen zu vergessen, aus dieser um das bald zu Erfahrende treu zu behalten, ward der Befrager bei nächtlicher Weile in heiligen Gewändern durch den Tempelhain aufwärts auf die Höhe des Berges geführt, wo sich innerhalb eines runden vergitterten Mauersockels die künstlich gegrabene und sorgfältig ausgemauerte, nach unten etwas engere Grube (*τὸ καταβάσιον*) zeigte, etwa 6 F. breit, 12 F. tief. Auf schmaler Leiter, Honigkuchen in der Hand die Unterirdischen zu besänftigen, stieg er hinab auf einen künstlichen Boden, wo er flachgestreckt die Füfse durch eine Oeffnung eine Spanne tief auf den wirklichen Boden hinabschob, worauf es ihn sofort mit der Heftigkeit eines jähen Stromes vollends hinabrifs und ebenso nach kurzer Frist wieder heraufbrachte, betäubt von der erfahrenen Gewalt und sinnverwirrt von dem durchlebten unterirdischen Spuk. In diesem Zustande, noch ehe er sich erholt, setzten ihn die Priester auf den 'Stuhl der Mnemosyne' und erfragten was er gesehen und gehört; die erhaltene Offenbarung legten sie aus und brachten sie in verständlichen Ausdruck, auch wohl in metrische Form (Paus. IV 32 5).

4. *Ἄβας*: s. c. 33 6.

5. *ὡς ἀπίκετο* erneuert das eigentlich auch für dieses, durch *καὶ δὴ καί* nachdrucksvoll angefügte Glied noch bestimmte *ἀπικόμενος* in selbständiger Satzform, um den alleinigen Bezug des Hauptsatzes auf *Θήβας* deutlich zu machen.

6. S. zu I 92 5.

7. *ἱροῖσι* 'aus Brandopfern', und zwar in Theben aus der Asche, wie Soph. O. T. 21 *ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ* andeutet; oder der Flamme (Philostr. vit. Apoll. V 25). Diese ganze Art der Mantik hiefs *δι' ἐμπύρων* od. *πυρομαντεία*; die Seher *πυρκόοι, ἐμπυροσκόποι*. In Olympia, am Altare des Zeus, übten sie die Iamiden (zu IX 33 5). Pind. O. XIII 2 *ἵνα μάντιες ἄνδρες Ἐμπύροις τεχμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου.*

8 f. *κατεκοίμησε* 'liefs sich schlafen legen'. Es war ein Traumorakel. Vgl. zu I 52 2. Paus. I 34 5 beschreibt die Bräuche, wie er sie zu Oropos gesehen: *δοκῶ δὲ Ἀμφιάραον ὀνειράτων διακρίσει μάλιστα προσκεῖσθαι· δῆλον δὲ ἡνίκα ἐνομίσθη θεὸς δι' ὀνειράτων μαντικὴν καταστησάμενος. καὶ πρῶτον μὲν καθήρασθαι νομίζουσιν ὅστις ἦλθεν Ἀμφιαράῳ χρησόμενος· ἔστι δὲ καθάρσιον τῷ θεῷ θύειν. . προεξεργασμένων δὲ τούτων κριὸν θύσαντες καὶ τὸ δέρμα ὑποστρωσάμενοι καθεύδουσιν ἀναμένοντες δήλωσιν ὀνείρατος.* Besonders Kranke suchten dort Rath; die Genesenen warfen als Dank Münzen in eine dem Dae-

σθαι αὐτόθι διὰ τόδε. ἐκέλευσέ σφεας ὁ Ἀμφιάρεως διὰ χρηστηρίων ποιεύμενος ὁκότερα βούλονται ἑλέσθαι τούτων, ἑωυτῷ ἢ ἅτε μάντι χρᾶσθαι ἢ ἅτε συμμάχῳ, τοῦ ἑτέρου ἀπεχομένους· οἱ δὲ σύμμαχόν μιν εἵλοντο εἶναι. διὰ τοῦτο μὲν οὐκ ἔξεστι Θηβαίων οὐδενὶ αὐτόθι ἐγκατακοιμηθῆναι. τόδε δὲ θῶυμά μοι μέγιστον γενέσθαι λέγεται ὑπὸ Θηβαίων. ἐλθεῖν ἄρα τὸν Εὐρωμέα Μῦν, περιστρωφώμενον πάντα τὰ χρηστήρια, καὶ ἐς τοῦ Πτωίου Ἀπόλλωνος τὸ τέμενος. τοῦτο δὲ τὸ ἱρὸν καλέεται μὲν Πτώιον, ἔστι δὲ Θηβαίων, κέεται δὲ ὑπὲρ τῆς Κωπαΐδος λίμνης πρὸς οὔρεϊ ἀγχοτάτω Ἀκραιφίης πόλιος. ἐς τοῦτο τὸ ἱρὸν ἐπείτε παρελθεῖν τὸν καλεόμενον τοῦτον Μῦν, ἕπεσθαί οἱ τῶν ἀστῶν αἱρετοὺς ἄνδρας τρεῖς ἀπὸ τοῦ κοινοῦ ὡς ἀπογραψομένους τὰ θεσπιέειν ἔμελλε, καὶ πρόκατε τὸν πρόμαντιν βαρβάρῳ γλώσσῃ χρᾶν. καὶ τοὺς μὲν ἑπομένους τῶν Θηβαίων ἐν

mon heilige Quelle (ib. 4). — Plut. mor. 412 weifs vom Erfolg dieser Befragung das Nähere: *ὁ δὲ πεμφθεὶς εἰς Ἀμφιάρεω Λυδὸς ἔδοξε κατὰ τοὺς ὕπνους ὑπηρέτην τοῦ θεοῦ φανέντα πρῶτον μὲν ἀπὸ φωνῆς ἐκβάλλειν αὐτὸν ὡς τοῦ θεοῦ μὴ παρόντος, ἔπειτα ταῖς χερσὶν ὠθεῖν, ἐπιμένοντος δὲ λίθον εὐμεγέθη λαβόντα τὴν κεφαλὴν πατάξαι. ταῦτα δ' ἦν ὥσπερ ἀντίφωνα τῶν γενησομένων· ἠττήθη γὰρ ὁ Μαρδόνιος, οὐ βασιλέως ἀλλ' ἐπιτρόπου καὶ διακόνου βασιλέως ἡγουμένου τῶν Ἑλλήνων, καὶ λίθῳ πληγεὶς ἔπεσεν, ὥσπερ ὁ Λυδὸς ἔδοξε πληγῆναι κατὰ τοὺς ὕπνους.* Arist. 19 *καὶ τὸν Μαρδόνιον ἀνὴρ Σπαρτιάτης ὄνομα Ἀρίμνηστος ἀποκτίννυσι λίθῳ τὴν κεφαλὴν πατάξας, ὥσπερ αὐτῷ προεσήμαινε τὸ ἐν Ἀμφιάρεω μαντεῖον. ἔπεμψε γὰρ ἄνδρα Λυδὸν ἐνταῦθα, Κᾶρα δὲ ἕτερον εἰς Τροφωνίου Μαρδόνιος.*

11. *διὰ χρ. ποιεύμενος*: zu VI 4 1. — *ὁκότερα*: vgl. V 82 8.

135. 2. *ἄρα*: H. pflegt sonst solche vorläufige Erklärungen mit *γάρ* einzuleiten (zu III 31 4). Das eigentliche *θῶυμα* folgt erst Z. 7ff.

10. Die Vorbereitungen zum Ausmarsch waren gewifs schon in den vorhergehenden Tagen, aber in aller Stille gemacht worden. Denn die Spartiaten vermieden es den Fremden Einsicht in die Stärke und Einrichtung ihres Heerwesens zu gehen (Thuk. V 68).

4 f. *καί:* zu II 44 17. Sonst beschränkte sich meist die Zahl auf einen Heloten; zu VII 186 5. 229 11. Diesmal wurden sie in Masse aufgeboten, weil die Bewaffnungsart der Feinde gerade von diesen leichten Truppen (*ψιλοί* c. 28 4) viel erwarten liefs. Dafs ungefähr dieselben Worte c. 28 4. 29 1 n. 7 wiederkehren, darf sie nicht verdächtigen. Plut. Arist. 10. mor. 871 hat sie hier gelesen. Abweichend von H.'s sonstigem Gebrauch (VI 58 15. 75 12. 80 2. IX 28 4. 80 16) ist nur *εἱλώτων* für das metaplastische *εἱλωτέων* (von *εἱλώτης*), während er die übrigen Kasus von *εἵλως* formirt. — Vgl. Thuk. V 64 *ἐνταῦθα δὴ βοήθεια τῶν Λακεδαιμονίων γίγνεται αὐτῶν τε καὶ τῶν εἱλώτων πανδημεὶ ὀξεῖα.*

6 ff. S. V 41 ff. — *Κλεόμβροτος*, der bisherige *ἐπίτροπος*.

Anaxandrides.

1. *Kleomenes*	2. Dorieus	3. *Leonidas*	4. Kleombrotos
Gorgo	Euryanax	*Pleistarchos*	Pausanias

τὴν τὸ τεῖχος δείμασαν μετὰ ταῦτα οὐ πολλὸν χρόνον τινὰ βιοὺς ἀπέθανε. ἀπῆγε δὲ τὴν στρατιὴν ὁ Κλεόμβροτος ἐκ τοῦ Ἰσθμοῦ διὰ τόδε· θυομένῳ οἱ ἐπὶ τῷ Πέρσῃ ὁ ἥλιος ἀμαυρώθη ἐν τῷ οὐρανῷ. προσαιρέεται δὲ ἑωυτῷ Παυσανίης Εὐρυάνακτα τὸν Δωριέος, ἄνδρα οἰ-
11 κίης ἐόντα τῆς αὐτῆς. οἱ μὲν δὴ σὺν Παυσανίῃ ἐξεληλύθεσαν ἔξω Σπάρτης· οἱ δὲ ἄγγελοι, ὡς ἡμέρη ἐγεγόνεε, οὐδὲν εἰδότες περὶ τῆς ἐξόδου ἐπῆλθον ἐπὶ τοὺς ἐφόρους, ἐν νόῳ δὴ ἔχοντες ἀπαλλάσσεσθαι καὶ αὐτοὶ ἐπὶ τὴν ἑωυτοῦ ἕκαστος. ἐπελθόντες δὲ ἔλεγον τάδε. „ὑμεῖς μὲν ὦ Λακεδαιμόνιοι αὐτοῦ τῇδε μένοντες Ὑακίνθιά τε ἄγετε καὶ παίζετε, καταπροδόντες τοὺς συμμάχους· Ἀθηναῖοι δὲ ὡς ἀδικεόμενοι ὑπ᾽ ὑμέων χήτι τε συμμάχων καταλύσονται τῷ Πέρσῃ οὕτω ὅκως ἂν δύνωνται. καταλυσάμενοι δέ, δῆλα γὰρ ὅτι σύμμαχοι βασιλέος γινόμεθα, συστρατευσόμεθα τῇ ἂν ἐκεῖνοι ἐξηγέωνται. ὑμεῖς δὲ τὸ ἐνθεῦτεν μαθήσεσθε ὁκοῖον ἄν τι ὑμῖν ἐξ αὐτοῦ ἐκβαίνῃ.“ ταῦτα λεγόντων τῶν ἀγγέλων, οἱ ἔφοροι εἶπαν ἐπ᾽ ὅρκου καὶ δὴ δοκέειν εἶ-

12. *τινά*: zu V 33 9.

13f. *ἐπὶ τῷ Πέρσῃ*: zu V 44 14. Jedenfalls noch im J. 480, s. VIII 71. Es handelte sich wohl darum dem damals (Ende September) aus Attika abziehenden Feinde von Megara her die Strafse durch den Kithaeron zu verlegen (vgl. c. 13 14) und so auch den Landkrieg sofort zur Entscheidung zu bringen; Sparta's ängstliche (VIII 108) und fast zweideutige Haltung scheint den Plan verhindert zu haben, was denn nachträglich mit dem wunderhaften Phänomen entschuldigt ward. Der Heimmarsch ward dann des Winters wegen ohnehin nothwendig. Im Sommer 479 ward der Bau wieder aufgenommen und zu Ende gebracht (c. 7 f). — *ἀμαυρώθη ἐν τῷ οὐρανῷ* ist nicht nothwendig von einer wirklichen Sonnenfinsternifs (vgl. I 74 9. VII 37 7 ff.) zu verstehen; auch ist eine solche für dies Jahr und diese Gegend nicht nachweisbar (zu VII 37 8).

15. *Δωριέος*, doch wohl keines anderen als des zweiten Sohnes des Anaxandrides, der in Sizilien fiel (V 46). Eurynnax hätte dann schon vor Leonidas König sein sollen. Vielleicht dafs sein Vater durch seine Auswanderung das Anrecht auf die Nachfolge für sich und die Seinigen aufgegeben oder verloren hatte. Vgl. zu VI 70 5.

11. 5. *ἐπὶ τὴν ἑωυτοῦ*, natürlich die Athener und Plataeer nicht nach Attika und Plataeae, sondern nach den Orten, wo ihre Behörden damals sich aufhielten.

7. *παίζετε*, von den musikalischen und orchestischen Aufführungen des zweiten Festtages (zu c. 7 2).

14. *ἐπ᾽ ὅρκου = σὺν ὅρκῳ, ὅρκου προσθέντος*. Dionys. Antiq. V

ναι ἐν Ὀρεστείῳ στείχοντας ἐπὶ τοὺς ξείνους· ξείνους γὰρ ἐκάλεον τοὺς βαρβάρους. οἱ δὲ ὡς οὐκ εἰδότες ἐπειρώτεον τὸ λεγόμενον, ἐπειρόμενοι δὲ ἐξέμαθον πᾶν τὸ ἐόν, ὥστε ἐν θώυματι γενόμενοι ἐπορεύοντο τὴν ταχίστην διώκοντες, σὺν δέ σφι τῶν περιοίκων Λακεδαιμονίων λογάδες πεντακισχίλιοι [ὁπλῖται τωὐτὸ τοῦτο ἐποίεον].

Οἱ μὲν δὴ ἐς τὸν Ἰσθμὸν ἠπείγοντο, Ἀργεῖοι δὲ ἐπείτε τάχιστα ἐπύθοντο τοὺς μετὰ Παυσανίεω ἐξεληλυθότας ἐκ Σπάρτης, πέμπουσι κήρυκα τῶν ἡμεροδρόμων ἀνευρόντες τὸν ἄριστον ἐς τὴν Ἀττικήν, πρότερον αὐτοὶ Μαρδονίῳ ὑποδεξάμενοι σχήσειν τὸν Σπαρτιήτην μὴ ἐξιέναι· ὃς ἐπείτε ἀπίκετο ἐς τὰς Ἀθήνας ἔλεγε τάδε. „Μαρδόνιε, ἔπεμψάν με Ἀργεῖοι φράσοντά τοι ὅτι ἐκ Λακεδαίμονος ἐξελήλυθε ἡ νεότης, καὶ ὡς οὐ δυνατοὶ αὐτὴν ἴσχειν εἰσὶ Ἀργεῖοι μὴ οὐκ ἐξιέναι. πρὸς

29 *πίστεις δοῦναι ἐπὶ τῶν θεῶν.* Antiphon IV p. 119 *ἐπὶ μαρτύρων.* — *καὶ δή* = *ἤδη*; zu IV 102 3.

15. Die Lage von *Ὀρέστειον*, wie sie diese Stelle fordert, nämlich an der Strafse nach Tegea und Orchomenos, stimmt nicht zu den sonstigen Angaben, die alle nach Nordwesten von Sparta, also vom direkten Wege nach dem Isthmos weg nach dem südwestl. Theile Arkadiens weisen. Hier war *Ὀρεσθία* od. *Ὀρεσθίς* ein alter halbverschollener Name der Landschaft zwischen dem Maeuulos- und Lyknion-geb., der später von anderen verdrängt, oder auch durch mifsgedeuteten Anklang an Agamemnon's Sohn in *Ὀρεστία* (*Ὀρεστίς*) verändert, noch in der maenalischen Ortschaft *Ὀρέσθειον* (*Ὀρεσθάσιον*) am oberen Alpheios und in der Südhälfte der Stadt Megalopolis (*Ὀρεστία*) fortdauerte (Thuk. IV 134. V 64. Eur. El. 1273. Or. 1647. Steph. B. v. *Μεγάλη πόλις* u. *Ὀρεσθία*. Paus. VIII 3 2. 27 3. 44 2). Noch weniger ist an das Heroon des Namens zu Sparta selbst (I 68. Paus. III 11 10), eher an das bei Tegea an der Strafse nach Thyrea (Paus. VIII 54 4) zu denken.

16. *τοὺς βαρβάρους*, wohl alle Fremde und Feinde überhaupt. Vgl. Cic. de off. I 37 *equidem etiam illud animadverto, quod qui proprio nomine perduellis esset is hostis vocaretur, lenitate verbi rei tristitiam mitigatam. hostis enim apud maiores nostros is dicebatur quem nunc peregrinum dicimus.*

17. *ἐπειρώτεον - ἐπειρόμενοι*: zu VI 61 25. — *τὸ λεγόμενον* 'nach der Rede Sinn.' Vgl. III 22 7.

Warnung der Argeier; Mardonios bis Megara; Rückzug nach Boeotien (c. 12—15).

12. 3. *ἡμεροδρόμων*: zu V 105 3.

5. *αὐτοί, sponte.* Von ihrer Haltung in diesem Kriege das Nähere VII 148 ff. Die Warnung war begründet genug; die Feinde konnten allenfalls in drei Tagen Attika erreichen (V 120) und die Kithaeronpässe verlegen.

13 ταῦτα τύγχανε εὖ βουλευόμενος.“ ὁ μὲν δὴ εἶπας ταῦτα ἀπαλλάσσετο ὀπίσω, Μαρδόνιος δὲ οὐδαμῶς ἔτι πρόθυμος ἦν μένειν ἐν τῇ Ἀττικῇ, ὡς ἤκουσε ταῦτα. πρὶν μέν νυν ἢ πυθέσθαι, ἀνεκώχευε ἐθέλων εἰδέναι τὸ παρ᾽ Ἀθηναίων, ὁκοῖόν τι ποιήσουσι, καὶ οὔτε ἐπήμαινε οὔτε ἐσίνετο γῆν τὴν Ἀττικήν, ἐλπίζων διὰ παντὸς τοῦ χρόνου ὁμολογήσειν σφέας· ἐπεὶ δὲ οὐκ ἔπειθε, πυθόμενος τὸν πάντα λόγον, πρὶν ἢ τοὺς μετὰ Παυσανίεω ἐς τὸν Ἰσθμὸν ἐσβαλεῖν, ὑπεξεχώρεε ἐμπρήσας τε τὰς Ἀθήνας, καὶ εἴ κού τι ὀρθὸν ἦν τῶν τειχέων ἢ τῶν οἰκημάτων ἢ τῶν ἱρῶν, πάντα καταβαλὼν καὶ συγχώσας. ἐξήλαυνε δὲ τῶνδε εἵνεκεν, ὅτι οὔτε ἱππασίμη ἡ χώρη ἦν ἡ Ἀττική, εἴ τε νικῷτο συμβαλών, ἀπάλλαξις οὐκ ἦν ὅτι μὴ κατὰ στεινόν, ὥστε καὶ ὀλίγους σφέας ἀνθρώπους ἴσχειν. ἐβουλεύετο ὧν ἐπαναχωρήσας ἐς τὰς Θήβας συμβαλεῖν πρὸς πόλι τε φιλίῃ καὶ χώρῳ ἱππασίμῳ.

14 Μαρδόνιος μὲν δὴ ὑπεξεχώρεε, ἤδη δὲ ἐν τῇ ὁδῷ ἐόντι αὐτῷ ἦλθε ἀγγελίη πρόδρομον ἄλλην στρατιὴν ἥκειν ἐς Μέγαρα Λακεδαιμονίων χιλίους. πυθόμενος δὲ ταῦτα ἐβουλεύετο ἐθέλων, εἴ κως τούτους πρῶτον ἕλοι. ὑποστρέψας δὲ τὴν στρατιὴν ἦγε ἐπὶ τὰ Μέγαρα· ἡ δὲ ἵππος προελθοῦσα κατιππάσατο χώρην τὴν Με-

13. 5. *τὸ παρ᾽ Ἀθηναίων*: zu c. 7β 1.

8. *τὸν πάντα λόγον* ‘die ganze Lage der Dinge’. Vgl. zu I 21 6.

10. *τὰς Ἀθήνας*, die Unterstadt (*τὸ ἄστυ*). Die Akropolis war schon im letzten Herbste verwüstet (c. 53 15).

14. *κατὰ στεινόν*, durch die engen Defileen des Kithaeron und des Paroes, bei Eleutherae (c. 39 4) und Phyle. Die Hellenen konnten die Aosgänge auf boeotischer Seite besetzen, indem sie von Megara an der Küste entlang über Plataeae vordrangen, ehe das pers. Hauptheer sie passirt hatte. Aus ebeo diesem Grunde zog sich Mardonios durch das östl. Attika über Dekeleia auf weitem Bogen an den Nordfufs des Kithaeron zurück (c. 15). Ueber das substantivische *στεινόν* zu IV 62 7. 86 10.

14. 2. *πρόδρομον-στρατιήν*, als Vortrab des noch am Isthmos sich sammelnden Hauptheeres. Die Worte sind appositiv zu *Λακεδαιμονίων χιλίους*.

4. *ἐθέλων*: zu VI 52 17.

5. Wohl nur ein Scheinmanöver um den Rückzug zu decken. Die Perser drangen bis Pagae an der Küstenstrafse vom Isthmos nach Boeotien vor (Paus. I 44 4).

γαρίδα. ἐς ταύτην δὴ ἑκαστάτω τῆς Εὐρώπης τὸ πρὸς ἡλίου δύνοντος ἡ Περσικὴ αὕτη στρατιὴ ἀπίκετο. μετὰ δὲ ταῦτα Μαρδονίῳ ἦλθε ἀγγελίη ὡς ἁλέες εἴησαν οἱ Ἕλληνες ἐν τῷ Ἰσθμῷ. οὕτω δὴ ὀπίσω ἐπορεύετο διὰ Δεκελείης· οἱ γὰρ βοιωτάρχαι μετεπέμψαντο τοὺς προσχώρους τῶν Ἀσωπίων, οὗτοι δὲ αὐτῷ τὴν ὁδὸν ἡγέοντο ἐς Σφενδαλέας, ἐνθεῦτεν δὲ ἐς Τάναγραν. ἐν Τανάγρῃ δὲ νύκτα ἐναυλισάμενος, καὶ τραπόμενος τῇ ὑστεραίῃ ἐς Σκῶλον, ἐν γῇ τῇ Θηβαίων ἦν. ἐνθαῦτα δὲ τῶν Θηβαίων καίπερ μηδιζόντων ἔκειρε τοὺς χώρους, οὕτι κατ' ἔχθος αὐτῶν ἀλλ' ὑπ' ἀναγκαίης μεγάλης ἐχόμενος, βουλόμενος ἔρυμά τε τῷ στρατοπέδῳ ποιήσασθαι, καὶ ἢν συμβαλόντι οἱ μὴ ἐκβαίνῃ ὁκοῖόν τι ἐθέλοι, κρησφύγετον τοῦτο ἐποιέετο. παρῆκε δὲ αὐτοῦ

15. 3. Ἕλληνες, die peloponnesischen. Vgl. c. 19 9.

4. Dekeleia beherrscht den Pafs, der von der oberen athenischen Ebene am Fufse des Parnes hinüber nach Oropos und Tanagra führt. — βοιωτάρχαι, der regierende Ausschufs des boeot. Städtebundes.

5f. Ἀσωπίων, der Anwohner des mittleren Asopos; daher auch Παρασώπιοι und die Landschaft Παρασωπία (Strab. 408f.). — τὴν ὁδόν, durch die Schluchten des Parnes, welche ihnen als nördlichen Anwohnern dieses Gebirgs bekannt sein mufsten. An diesem Wege, noch auf attischem Gebiete, lag der Demos Σφενδαλέες od. Σφενδαλή (Steph. B.). Dafs das ganze Heer diese beschwerlichen Pfade gezogen ist nicht glaublich; kam es doch nur darauf an sich der nördlichen Ausgänge der Pässe rasch zu versichern.

8. Strab. 408 Σκῶλος δ' ἐστὶ κώμη τῆς Παρασωπίας ὑπὸ τῷ Κιθαιρῶνι, δυσοίκητος τόπος καὶ τραχύς, ἀφ' οὗ καὶ ἡ παροιμία „εἰς Σκῶλον μήτ' αὐτὸς ἴναι μήτ' ἄλλῳ ἕπεσθαι." Der Ort war wichtig, weil er inmitten der beiden erwähnten Strafsen lag und ihre Zugänge beherrschte. — Das Stadtgebiet von Theben reichte südlich über den Asopos bis zum Kithaeron hinauf. Strab. 409 παρ' αὐτὸν δὲ (τὸν Κιθαιρῶνα ὁ Ἀσωπὸς) ῥεῖ τὴν ὑπώρειαν αὐτοῦ κλύζων καὶ ποιῶν τοὺς Παρασωπίους εἰς κατοικίας πλείους διηρημένους, ἅπαντας δ' ὑπὸ Θηβαίοις ὄντας (näml. Σκῶλον Ἐτεωνὸν Ἐρυθρας Ὑσιάς). Vgl. VI 108 31. IX 65 4.

9. ἔκειρε, weil er die Bäume zum Schanzwerk bedurfte (ξύλινον τεῖχος c. 65 4. 70 2). Bei κείρειν ist besonders an Fruchtbäume zu denken; vgl. c. 97 8. — χώρους, die zu 8 genannten Ortschaften. In ihrem Gebiete, also südlich vom Asopos, wahrscheinlich nahe bei Skolos, lag das feste Lager, das zur Basis aller Bewegungen auf dem diesseitigen Ufer und zur Sperrung der Pässe sowie zur Aufnahme des Gepäckes (Plut. Arist. 11) dienen sollte.

13. Da καὶ-κρησφύγετον parallel zu ἔρυμα steht (vgl. c. 96 17), so stören τοῦτο ἐποιέετο die Satzordnung. Leichterer Art wäre das Anakoluthon, wenn vorher stände ἔρυμά τε βουλόμενος-ποιήσασθαι (s. zu I 85 5).

τὸ στρατόπεδον ἀρξάμενον ἀπ᾽ Ἐρυθρέων παρ᾽ Ὑσιάς, κατέτεινε δὲ ἐς τὴν Πλαταιίδα γῆν, παρὰ τὸν Ἀσωπὸν ποταμὸν, τεταγμένον. οὐ μέντοι τό γε τεῖχος τοσοῦτο ἐποιέετο, ἀλλ᾽ ὡς ἐπὶ δέκα σταδίους μάλιστά κη μέτωπον ἕκαστον.

16 Ἐχόντων δὲ τὸν πόνον τοῦτον τῶν βαρβάρων, Ἀτταγῖνος ὁ Φρύνωνος ἀνὴρ Θηβαῖος παρασκευασάμενος μεγάλως ἐκάλεε ἐπὶ ξείνια αὐτόν τε Μαρδόνιον καὶ πεντήκοντα Περσέων τοὺς λογιμωτάτους, κληθέντες δὲ οὗτοι εἵποντο· ἦν δὲ τὸ δεῖπνον ποιεύμενον ἐν Θήβῃσι. τάδε δὲ ἤδη τὰ ἐπίλοιπα ἦκουον Θερσάνδρου ἀνδρὸς μὲν Ὀρχομενίου, λογίμου δὲ ἐς τὰ πρῶτα ἐν Ὀρχομενῷ. ἔφη δὲ ὁ Θέρσανδρος κληθῆναι καὶ αὐτὸς ὑπ᾽ Ἀτταγίνου ἐπὶ τὸ δεῖπνον τοῦτο, κληθῆναι δὲ καὶ Θηβαίων ἄνδρας πεντήκοντα, καὶ σφέων οὐ χωρὶς ἑκατέρους κλῖναι, ἀλλὰ Πέρσην τε καὶ Θηβαῖον ἐν κλίνῃ ἑκάστῃ. ὡς δὲ ἀπὸ δείπνου ἦσαν, διαπινόντων τὸν Πέρσην τὸν ὁμόκλινον Ἑλλάδα γλῶσσαν ἱέντα εἴρεσθαι αὐτὸν ὁποδαπός ἐστι, αὐτὸς δὲ ὑποκρίνασθαι ὡς εἴη Ὀρχομένιος. τὸν δὲ εἶπαι „ἐπεὶ νῦν ὁμοτράπεζός τέ μοι καὶ ὁμόσπονδος ἐγένεο, μνημόσυνά τοι γνώμης τῆς ἐμῆς καταλιπέσθαι ἐθέλω, ἵνα καὶ προειδὼς αὐτὸς περὶ σεωυτοῦ βουλεύεσθαι

Gastmahl in Theben (c. 16). Prüfung der Phoker (c. 17 f.)

16. *Ἀτταγῖνος*, der nebst Timegenides an der Spitze der medisch gesinnten Oligarchie stand (c. 86 4).

3. *μεγάλως*, *magnifice*, *magno apparatu*. — *ἐκάλεε ἐπὶ ξείνια*: zu V 18 5.

6. *τὰ δὲ ἤδη τὰ ἐπίλοιπα*, *ea autem quae iam sequuntur*.

7. *ἐς τὰ πρῶτα*: zu I 20 5.

11. Zu *κλῖναι* ist *Ἀτταγῖνον* als Subjektsakkusativ zu ergänzen, weil der Hausherr die Plätze nach Rang und Schätzung anzuweisen pflegte; falls man nicht *κλινῆναι* lesen will. — Dafs nur je zwei Personen auf der *κλίνη* nebeneinander Platz nahmen scheint hellenischer Brauch gewesen zu sein. Vgl. Plat. Symp. 175. Bei den Römern fafste der *lectus* je drei Gäste.

12. *ἀπὸ δείπνου ἦσαν*: zu I 126 13. — *διαπινόντων*: zu I 18 7.

14. *ὁποδαπός*: zu V 13 5.

15. *ὁμοτράπεζος* Genosse beim *δεῖπνον*, *ὁμόσπονδος* beim *πότος*, der mit einer *σπονδή* begann. Plat. Symp. 176 *μετὰ ταῦτα*, *ἔφη*, *κατακλινέντος τοῦ Σωκράτους καὶ δειπνήσαντος καὶ τῶν ἄλλων*, *σπονδάς τε σφᾶς ποιήσασθαι καὶ ᾄσαντας τὸν θεὸν καὶ τἆλλα τὰ νομιζόμενα τρέπεσθαι πρὸς τὸν πότον*. Vnn *τε καί* zu V 2 6.

16. *μνημόσυνα*: zu VI 109 12.

ἔχῃς τὰ συμφέροντα. ὁρᾷς τούτους τοὺς δαινυμένους Πέρσας καὶ τὸν στρατὸν τὸν ἐλίπομεν ἐπὶ τῷ ποταμῷ στρατοπεδευόμενον; τούτων πάντων ὄψεαι ὀλίγου τινὸς χρόνου διελθόντος ὀλίγους τινὰς τοὺς περιγενομένους." ταῦτά τε ἅμα τὸν Πέρσην λέγειν καὶ μετιέναι πολλὰ τῶν δακρύων. αὐτὸς δὲ θωυμάσας τὸν λόγον εἶπαι πρὸς αὐτὸν „οὐκ ὢν Μαρδονίῳ τε ταῦτα χρεών ἐστι λέγειν καὶ τοῖσι μετ' ἐκεῖνον ἐν αἴνῃ ἐοῦσι Περσέων;" τὸν δὲ μετὰ ταῦτα εἶπαι „ξεῖνε, ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ· οὐδὲ γὰρ πιστὰ λέγουσι ἐθέλει πείθεσθαι οὐδείς. ταῦτα δὲ Περσέων συχνοὶ ἐπιστάμενοι ἑπόμεθα ἀναγκαίῃ ἐνδεδεμένοι. ἐχθίστη δὲ ὀδύνη ἐστὶ τῶν ἐν ἀνθρώποισι αὕτη, πολλὰ φρονέοντα μηδενὸς κρατέειν." ταῦτα μὲν τοῦ Ὀρχομενίου Θερσάνδρου ἤκουον, καὶ τάδε πρὸς τούτοισι, ὡς αὐτὸς αὐτίκα λέγοι ταῦτα πρὸς ἄλλους πρότερον ἢ γενέσθαι ἐν Πλαταιῇσι τὴν μάχην.

Μαρδονίου δὲ ἐν τῇ Βοιωτίῃ στρατοπεδευομένου οἱ μὲν ἄλλοι παρείχοντο ἅπαντες στρατιὴν καὶ συνεσέβαλον ἐς Ἀθήνας, ὅσοι περ ἐμήδιζον Ἑλλήνων τῶν ταύτῃ οἰκημένων, μοῦνοι δὲ Φωκέες οὐ συνεσέβαλον· ἐμήδιζον γὰρ δὴ σφόδρα καὶ οὗτοι οὐκ ἑκόντες ἀλλ' ὑπ' ἀναγκαίης. ἡμέρῃσι δὲ οὐ πολλῇσι μετὰ τὴν ἄπιξιν τὴν ἐς Θήβας ὕστερον ἦλθον αὐτῶν ὁπλῖται χίλιοι· ἦγε δὲ αὐτοὺς Ἁρμοκύδης ἀνὴρ τῶν ἀστῶν δοκιμώτατος. ἐπεὶ

20f. *ὀλίγου τινός*: zu V 33 9. — *τούς*: zu III 82 8.

23. *τῶν δακρύων*: zum Artikel vgl. VII 188 19.

27. Vgl. zu III 43 2.

29. *ἐνδεδεμένοι*, wie I 11 16.

31. *μηδενὸς κρατέειν*, Anspielung auf die unbeschränkte Macht des Mardonios. Vgl. c. 41 19f. 42 3.

17. 2. *καὶ συνεσέβαλον* greift zeitlich zurück in die Erzählung, um die Notiz über die Phoker einflechten zu können, die zwar zu denen gehörten οἳ *παρείχοντο στρατιήν*, aber erst nach dem zweiten Einfall in Attika.

3. *Ἀθήνας* = *Ἀττικήν*; zu V 57 9. Aehnlich 7 u. 9 *ἐς Θήβας* für *ἐς γῆν τὴν Θηβαίων* (vgl. c. 15). — *ταύτῃ*, in Mittelhellas.

5. *καὶ οὗτοι*, aber nicht alle (c. 31 24).

7. *ὕστερον*, pleonastisch nach *μετὰ τὴν ἄπιξιν*. Vgl. VII 33 *μετὰ ταῦτα χρόνῳ ὕστερον*, IX 83 *ὑστέρῳ χρόνῳ μετὰ ταῦτα*, 85 *δέκα ἔτεσι ὕστερον μετὰ ταῦτα*, u. III 36 29.

δὲ ἀπίκοντο καὶ οὗτοι ἐς Θήβας, πέμψας ὁ Μαρδόνιος ἱππέας ἐκέλευσέ σφεας ἐπ' ἑωυτῶν ἐν τῷ πεδίῳ ἵζεσθαι. ἐπεὶ δὲ ἐποίησαν ταῦτα, αὐτίκα παρῆν ἡ ἵππος ἅπασα. μετὰ δὲ ταῦτα διεξῆλθε μὲν διὰ τοῦ στρατοπέδου τοῦ Ἑλληνικοῦ τοῦ μετὰ Μήδων ἐόντος φήμη ὡς κατακοντιεῖ σφεας, διεξῆλθε δὲ δι' αὐτῶν Φωκέων τωὐτὸ τοῦτο. ἔνθα δή σφι ὁ στρατηγὸς Ἁρμοκύδης παραίνεε λέγων τοιάδε. „ὦ Φωκέες, πρόδηλα γὰρ ὅτι ἡμέας οὗτοι οἱ ἄνθρωποι μέλλουσι προόπτῳ θανάτῳ δώσειν, διαβεβλημένους ὑπὸ Θεσσαλῶν, ὡς ἐγὼ εἰκάζω· νῦν ὦν ἄνδρα πάντα τινὰ ὑμέων χρεών ἐστι γενέσθαι ἀγαθόν· κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους τελευτῆσαι τὸν αἰῶνα ἤπερ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ μόρῳ. ἀλλὰ μαθέτω τις αὐτῶν ὅτι ἐόντες βάρβαροι ἐπ' Ἕλλησι ἀνδράσι φόνον ἔρραψαν.“ ὁ μὲν ὦν ταῦτα παραίνεε, οἱ δὲ ἱππέες ἐπείτε σφέας ἐκυκλώσαντο, ἐπήλαυνον ὡς ἀπολεῦντες, καὶ δὴ διετείνοντο τὰ βέλεα ὡς ἀπήσοντες, καί κού τις καὶ ἀπῆκε. καὶ οἱ ἀντίοι ἔστασαν, πάντῃ τε συστρέψαντες ἑωυτοὺς καὶ πυκνώσαντες ὡς μάλιστα. ἐνθαῦτα οἱ ἱππόται ὑπέστρεφον καὶ ἀπήλαυνον ὀπίσω. οὐκ ἔχω δ' ἀτρεκέως εἶπαι οὔτε εἰ ἤλθον μὲν ἀπολέοντες τοὺς Φωκέας δεηθέντων Θεσσαλῶν, ἐπεὶ δὲ

13. Ein solcher Fall ereignete sich im pelop. Kriege. Thuk. VIII 108 (*Ἀρσάκης Τισσαφέρνου ὕπαρχος*) *Δηλίους τοὺς Ἀτραμύττιον κατοικήσαντας - ἔχθραν προσποιησάμενος ἄδηλον καὶ ἐπαγγείλας στρατιὰν αὐτῶν τοῖς βελτίστοις, ἐξαγαγὼν ὡς ἐπὶ φιλίᾳ καὶ ξυμμαχίᾳ τηρήσας ἀριστοποιουμένους καὶ περιστήσας τοὺς ἑαυτοῦ κατηκόντισεν.*

18 f. S. VIII 29 f. — *νῦν ὦν*: zu V 49 11. — *ἄνδρα* geh. zu *γενέσθαι ἀγαθόν*; zu V 2 2.

21. *παρέχειν*, 'herhalten, dulden', sagte man von solchen die ihren Körper und überhaupt ihre Person Anderen, wie Aerzten, Liebhabern u. dgl., zu willkürlicher Behandlung überliefsen. — *αἰσχίστῳ μόρῳ*: Aesch. Pers. 439 *τεθνᾶσιν αἰσχρῶς δυσκλεεστάτῳ μόρῳ*. An poetischen Stil erinnert auch 23 *φόνον ἔρραψαν*. Od. π 379 *οὔνεκά οἱ φόνον αἰπὺν ἐράπτομεν*, Aesch. Eum. 27 *Πενθεῖ καταρράψας μόρον*.

22. *μαθέτω τις*: vgl. VII 5 13.

18. 3. *καὶ δή*: zu VI 12 15. — *διετείνοντο τὰ βέλεα*, eig. *τὰ τόξα* (VII 61 7). Aehnlich Od. o 282 *ἐδέξατο χάλκεον ἔγχος καὶ τό γ' ἐπ' ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης*, und das häufige *ξεστὴν ἐτάνυσσε τράπεζαν* von der Tischplatte, die ausgedehnt wie sie ist auf das Tischgestell gelegt wird.

ὦρεον πρὸς ἀλέξησιν τραπομένους, δείσαντες μὴ καὶ σφίσι γένηται τρώματα, οὕτω δὴ ἀπήλαυνον ὀπίσω· ὡς γάρ σφι ἐνετείλατο Μαρδόνιος· οὔτ᾽ εἰ αὐτῶν πειρηθῆναι ἠθέλησε εἴ τι ἀλκῆς μετέχουσι. ὡς δὲ ὀπίσω ἀπήλασαν οἱ ἱππόται, πέμψας Μαρδόνιος κήρυκα ἔλεγε τάδε. „θαρσέετε ὦ Φωκέες· ἄνδρες γὰρ ἐφάνητε ἐόντες ἀγαθοί, οὐκ ὡς ἐγὼ ἐπυνθανόμην. καὶ νῦν προθύμως φέρετε τὸν πόλεμον τοῦτον· εὐεργεσίῃσι γὰρ οὐ νικήσετε οὔτ᾽ ὧν ἐμὲ οὔτε βασιλέα.“ τὰ περὶ Φωκέων μὲν ἐς τοσοῦτο ἐγένετο.

Λακεδαιμόνιοι δὲ ὡς ἐς τὸν Ἰσθμὸν ἦλθον, ἐν τούτῳ ἐστρατοπεδεύοντο. πυνθανόμενοι δὲ ταῦτα οἱ λοιποὶ Πελοποννήσιοι τοῖσι τὰ ἀμείνω ἤνδανε, οἱ δὲ καὶ ὁρέοντες ἐξιόντας Σπαρτιήτας, οὐκ ἐδικαίευν λείπεσθαι τῆς ἐξόδου [Λακεδαιμονίων]. ἐκ δὴ ὧν τοῦ Ἰσθμοῦ καλλιρησάντων τῶν ἱρῶν ἐπορεύοντο πάντες καὶ ἀπικνέονται ἐς Ἐλευσῖνα· ποιήσαντες δὲ καὶ ἐνθαῦτα ἱρά, ὡς σφι ἐκαλλίρεε, τὸ πρόσω ἐπορεύοντο, Ἀθηναῖοι δὲ ἅμα αὐτοῖσι, διαβάντες μὲν ἐκ Σαλαμῖνος, συμμιγέντες δὲ

11. *ὡς-ἐνετείλατο*, dafs sie nämlich umkehren sollten, sobald sie die Pboker zur Abwehr entschlossen sähen. Zweifelbaft bleiht nur ob sie anch umgekehrt sein würden, falls das Gegentheil sich gezeigt bätte.

13. *πέμψας - κήρυκα ἔλεγε*: zu V 24 3.

16. *φέρετε* ‘führet’. Ehenso c. 40 7. Vgl. zu I 18 15.

Die Hellenen hei Erythrae. Angriffe der Reiterei; Tod des Masistios. Neue Stellung (c. 19—25).

19. 3. *τὰ ἀμείνω ἤνδανε*: VII 145 *τῶν περὶ τὴν Ἑλλάδα τὰ ἀμείνω φρονεόντων*, 172 *τῶν πολίων τῶν τὰ ἀμείνω φρονεουσέων περὶ τὴν Ἑλλάδα*, VIII 29 *ὅσον χρόνον ἐκεῖνα ἡμῖν ἤνδανε. — οἱ δὲ καί*, die erst in letzter Stunde sich zur Theilnahme entschlossen. Welche dies waren ersieht man nicht; denn aufser den einzigen Lepreaten waren die übrigen c. 28 aufgezählten Staaten schon bei Marathon und Salamis vertreten (VII 202. VIII 1. 43); dagegen fehlten einige von diesen bei Salamis (zu c. 28 12). Die Argeier und Achaeer hielten sich auch diesmal fern.

4. *λείπεσθαι*: zu VII 153 7.

6. *καλλιρησάντων τῶν ἱρῶν*: zu VII 113 10.

7. *ἐς Ἐλευσῖνα*: wollten sie nach Boeotien marschiren, so hätten sie von Megara sich gleich nördlich nach Elentherae wenden müssen. Gewifs erwarteten sie aber den Feind noch in Attika zu finden; da er aber schon nord- und ostwärts abgezogen oder abzuziehen im Begriffe war, so wandten sie sich durch das thriasische Feld zum und über den Kithaeron. Diese doppelte Bewegung erklärt auch das doppelte Opfer.

ἐν Ἐλευσῖνι. ὡς δὲ ἀρα ἀπίκοντο τῆς Βοιωτίης ἐς Ἐρυθράς, ἔμαθόν τε δὴ τοὺς βαρβάρους ἐπὶ τῷ Ἀσωπῷ στρατοπεδευομένους, φρασθέντες τε τοῦτο ἀντετάσσοντο ἐπὶ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος. Μαρδόνιος δέ, ὡς οὐ κατέβαινον οἱ Ἕλληνες ἐς τὸ πεδίον, πέμπει ἐς αὐτοὺς πᾶσαν τὴν ἵππον, τῆς ἱππάρχεε Μασίστιος εὐδοκιμέων παρὰ Πέρσῃσι, τὸν Ἕλληνες Μακίστιον καλέουσι, ἵππον ἔχων Νησαῖον χρυσοχάλινόν τε καὶ ἄλλως κεκοσμημένον καλῶς. ἐνθαῦτα ὡς προσήλασαν οἱ ἱππόται πρὸς τοὺς Ἕλληνας, προσέβαλον κατὰ τέλεα, προσβαλόντες δὲ κακὰ μεγάλα ἐργάζοντο καὶ γυναῖκάς σφεας ἀπεκάλεον. κατὰ συντυχίην δὲ Μεγαρέες ἔτυχον ταχθέντες τῇ τε ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντός, καὶ ἡ πρόσοδος μάλιστα ταύτῃ ἐγίνετο τῇ ἵππῳ. προσβαλούσης ὦν τῆς ἵππου οἱ Μεγαρέες πιεζόμενοι ἔπεμπον

10. *ἐς Ἐρυθράς*, wo doch nach c. 15 14 der Feind seine Aufstellung genommen, der sich von da sogar westlich bis Plataeae ausdehnte. Man erkennt dafs hier eine Lücke in der Erzählung ist. Die Hellenen müssen den Pafs von Eleutherae forcirt und den Feind ostwärts bis an sein festes Lager (bei Skolus), nordwärts in die Ebene des Asopus zurückgedrängt haben. Vgl. c. 25 10 ff.

11. *ἔμαθον*: zu VII 37 10.

13. *ἐπὶ τῆς ὑπωρέης*, um gegen die Angriffe der Reiterei gedeckt zu sein, welche Waffe ihnen ganz abging, und um die Verbindungsstrafse im Rücken zu decken, auf welcher sie fortwährend Zuzug und Lebensmittel erhielten (c. 28 1. 38 8. 39 8).

20. 4. *Ἕλληνες*, andere hellenische Autoren und Dichter (wie Choerilus, Simonides). Aehnliche Bemerkung I 7 4. 216 3. II 16 4. — *Μακίστιος* war den Hellenen als elisches *ἐθνικόν* (IV 148 14) geläufig, und schien von *μάκιστος* (vgl. c. 25 6) abgeleitet. Ein *Μασίστιος* ist auch VII 79 8 genannt.

5. *Νησαῖον*: zu VII 40 10.

7. *κατὰ τέλεα*, *turmatim*; zu VII 81 6. Ein Geschwader folgte dem anderen im Angriff, der in dieser Weise ohne Unterbrechung fortgeführt ward. S. c. 23 1.

8. *γυναῖκας*: vgl. c. 107 8.

21. Plut. Arist. 14 *Μαρδόνιος, ᾧ πλεῖστον ἐδόκει διαφέρειν τῶν Ἑλλήνων ἀπεπειρᾶτο, τὴν ἵππον ἀθρόαν αὐτοῖς ἐφεἰς καθεζομένοις ὑπὸ τὸν πρόποδα τοῦ Κιθαιρῶνος ἐν χωρίοις ὀχυροῖς καὶ πετρώδεσι πλὴν Μεγαρέων. οὗτοι δὲ τρισχίλιοι τὸ πλῆθος ὄντες ἐν τοῖς ἐπιπέδοις μᾶλλον ἐστρατοπεδεύοντο. διὸ καὶ κακῶς ἔπασχον ὑπὸ τῆς ἵππου ῥυείσης ἐπ' αὐτοὺς καὶ προσβολὰς ἐχούσης πανταχόθεν.* Sie standen, scheint es, auf dem rechten Flügel bei Erythrae (c. 22 2), zunächst den Feinden.

2 f. *τῇ-ταύτῃ*: zu II 40 3. — *ἐπιμαχώτατον*: zu IV 86 10.

ἐπὶ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων κήρυκα, ἀπικόμενος δὲ ὁ κῆρυξ πρὸς αὐτοὺς ἔλεγε τάδε. „Μεγαρέες λέγουσι, ἡμεῖς, ἄνδρες σύμμαχοι, οὐ δυνατοί εἰμεν τὴν Περσέων ἵππον δέκεσθαι μοῦνοι, ἔχοντες στάσιν ταύτην ἐς τὴν ἔστημεν ἀρχήν· ἀλλὰ καὶ ἐς τόδε λιπαρίῃ τε καὶ ἀρετῇ ἀντέχομεν καίπερ πιεζόμενοι. νῦν τε εἰ μή τινας ἄλλους πέμψετε διαδόχους τῆς τάξιος, ἵστε ἡμέας ἐκλείψοντας τὴν τάξιν.“ ὁ μὲν δή σφι ταῦτα ἀπήγγελλε, Παυσανίης δὲ ἀπεπειρᾶτο τῶν Ἑλλήνων εἴ τινες ἐθέλοιεν ἄλλοι ἐθελονταὶ ἰέναι τε ἐς τὸν χῶρον τοῦτον καὶ τάσσεσθαι διάδοχοι Μεγαρεῦσι. οὐ βουλομένων δὲ τῶν ἄλλων Ἀθηναῖοι ὑπεδέξαντο, καὶ Ἀθηναίων οἱ τριηκόσιοι λογάδες τῶν ἐλοχήγεε Ὀλυμπιόδωρος ὁ Λάμπωνος. οὗτοι ἦσαν οἵ τε ὑποδεξάμενοι καὶ οἱ πρὸ τῶν ἄλλων τῶν παρεόντων Ἑλλήνων ἐς Ἐρυθρὰς ταχθέντες, τοὺς τοξότας προσελόμενοι. μαχομένων δέ σφεων

6. *Μεγαρέες λέγουσι*: zu III 40 5.

9. *καί*, schon mit Bezug auf das fg. *καίπερ πιεζόμενοι*, 'dennoch', vorangestellt wie öfter so *ὅμως* (V 63 8. VIII 74 3).

13. Plut. Arist. 14 (*Παυσανίας*) *αὐτὸς μὲν ἀμήχανος ἦν πρὸς ἱππότας ἀμύνειν ὁπλιτικῇ φάλαγγι καὶ βαρείᾳ τῇ Σπαρτιατῶν.*

16. *καὶ Ἀθηναίων* 'und zwar'; zu I 52 6. — *οἱ*: der Artikel als von einer bekannten und gewöhnlichen Heeresabtheilung (*λόχος*, daher *ἐλοχήγεε*), von der jedoch sonst nichts verlautet; nur dafs Thuk. VI 100 bei der Belagerung von Syrakus eine solche Schaar von 300 der Gewaadtesten und Stärksten erwähnt.

17. Dieser Olympiodoros ist wahrscheinlich der Vater jenes Lampon, der als Seher, Orakeldeuter, Staatsmann und Freund des Perikles, insbesondere als Mitgründer von Thurioi sich einen Namen gemacht, und wegen seines superstitiösen scheinheiligen Gebarens von den zeitgenössischen Komikern, vorzüglich von Kratinos, oft gegeifselt worden. Der persönliche Bezug, in den ihn die Gründung von Thurioi sowie sein Verhältnifs zu Perikles und seine altgläubige Gesinnung zu dem Vf. gebracht haben mochte, macht es erklärlich warum das Vorpostengefecht, bei dem sich der Vater ausgezeichnet, mit so umständlicher Genauigkeit vorgetragen wird.

22. 3. *τοὺς τοξότας*, noch c. 60 17 erwähnt, aus der untersten Bürgerklasse, den Theten, die auch sonst als Leichtbewaffnete dienten, und aus Schutzverwandten formirt. Nach Aesch. P. 455. Plut. Them. 14 befanden sich schon in der Schlacht bei Salamis je vier auf jedem der 180 athen. Schiffe. Nicht damit zu verwechseln sind die s. g. Skythen oder Speusinier, angekaufte Sklaven, die als Bogenschützen Polizei- und Kriegsdienste leisteten, aber erst nach diesem Kriege angeschafft wurden.

ἐπὶ χρόνον τέλος τοιόνδε ἐγένετο τῆς μάχης. προσβαλούσης τῆς ἵππου κατὰ τέλεα, ὁ Μασιστίου προέχων τῶν ἄλλων ἵππος βάλλεται τοξεύματι τὰ πλευρά, ἀλγήσας δὲ ἵσταταί τε ὀρθὸς καὶ ἀποσείεται τὸν Μασίστιον. πεσόντι δὲ αὐτῷ οἱ Ἀθηναῖοι αὐτίκα ἐπεκέατο. τόν τε δὴ ἵππον αὐτοῦ λαμβάνουσι καὶ αὐτὸν ἀμυνόμενον κτείνουσι, κατ' ἀρχὰς οὐ δυνάμενοι. ἐνεσκεύαστο γὰρ οὕτω· ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτόν, κατύπερθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον ἐνδεδύκει. τύπτοντες δὲ ἐς τὸν θώρηκα ἐποίευν οὐδέν, πρίν γε δὴ μαθών τις τὸ ποιεύμενον παίει μιν ἐς τὸν ὀφθαλμόν. οὕτω δὴ ἔπεσέ τε καὶ ἀπέθανε. ταῦτα δέ κως γινόμενα ἐλελήθεε τοὺς ἄλλους ἱππέας· οὔτε γὰρ πεσόντα μιν εἶδον ἀπὸ τοῦ ἵππου οὔτε ἀποθνήσκοντα, ἀναχωρήσιός τε γινομένης καὶ ὑποστροφῆς οὐκ ἔμαθον τὸ γινόμενον. ἐπείτε δὲ ἔστησαν, αὐτίκα ἐπόθεσαν, ὡς σφεας οὐδεὶς ἦν ὁ τάσσων. μαθόντες δὲ τὸ γεγονός, διακελευσάμενοι ἤλαυνον τοὺς ἵππους πάντες, ὡς ἂν τόν γε νεκρὸν ἀνε-
23 λοίατο. ἰδόντες δὲ οἱ Ἀθηναῖοι οὐκέτι κατὰ τέλεα προσελαύνοντας τοὺς ἱππέας ἀλλ' ἅμα πάντας, τὴν ἄλλην στρατιὴν ἐπεβώσαντο. ἐν ᾧ δὲ ὁ πεζὸς ἅπας ἐβώθεε, ἐν τούτῳ μάχη ὀξέα περὶ τοῦ νεκροῦ γίνεται.

5. *προέχων τῶν ἄλλων* 'das den anderen vnraus war'; vgl. IV 120 17. Il. ψ 453 beim Wettrennen *φράσσατο δ' ἵππον ἀριπρεπέα προύχοντα.*

9. *ἀμυνόμενον*: vgl. zu I 68 26.

11. S. zu VII 61 2. Der Perieget Pausanias sah ihn noch als Weihgeschenk im Erechtheion (I 27 1).

14. *τὸ ποιεύμενον* 'den Vorgang'. Vgl. III 78 5. IX 47 3. Unten 18 *τὸ γινόμενον.*

17. *ἀναχωρήσιος*, wnmit jeder Angriff regelmäfsig schlofs und der darum nicht erst des Befehles des Anführers hedurfte, so dafs bei dem flüchtigen Anprall und ebenso rasehen Rücklauf der Reiter der Verlnst des Führers, der sich zu weit vnrgewngt und vnn den Hopliten sofnrt umringt worden war, unbemerkt bleiben konnte.

18. *τε* knüpft an und korrespondirt zngleich mit *καί*. Vgl. zu VI 41 7.

19. *ἔστησαν*, sc. *τοὺς ἵππους*. Od. η 4 *στῆσεν ἄρ' ἐν προθύροισιν* (*ἡμιόνους*), τ 188 *στῆσε δ' ἐν Ἀμνισῷ* (*νῆας*). Ebensn unten c. 23 9 *ἀποστήσαντες* 'in der Ferne nnhaltend, Halt machend', wn *ἀπο-* wie V 51 15 *ἀποστάς* 'sich entfernend'.

20. *διακελευσάμενοι*: zu I 1 17.

ἕως μέν νυν μοῦνοι ἦσαν οἱ τριηκόσιοι, ἐσσοῦντό τε πολλὸν καὶ τὸν νεκρὸν ἀπέλειπον· ὡς δέ σφι τὸ πλῆθος ἐπεβώθησαν, οὕτω δὴ οὐκέτι οἱ ἱππόται ὑπέμενον, οὐδέ σφι ἐξεγένετο τὸν νεκρὸν ἀνελέσθαι, ἀλλὰ πρὸς ἐκείνῳ ἄλλους προσαπώλεσαν τῶν ἱππέων. ἀποστήσαντες ὦν ὅσον τε δύο στάδια ἐβουλεύοντο ὅ τι χρεὼν εἴη ποιέειν· ἐδόκεε δέ σφι ἀναρχίης ἐούσης ἀπελαύνειν παρὰ Μαρδόνιον. ἀπικομένης δὲ τῆς ἵππου ἐς τὸ στρατόπεδον πένθος ἐποιήσαντο Μασιστίου πᾶσά τε ἡ στρατιὴ καὶ Μαρδόνιος μέγιστον, σφέας τε αὐτοὺς κείροντες καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια, οἰμωγῇ τε χρεόμενοι ἀπλέτῳ· ἅπασαν γὰρ τὴν Βοιωτίην κατεῖχε ἠχὼ ὡς ἀνδρὸς ἀπολομένου μετά γε Μαρδόνιον λογιμωτάτου παρά τε Πέρσῃσι καὶ βασιλέι. οἱ μέν νυν βάρβαροι τρόπῳ τῷ σφετέρῳ ἀποθανόντα ἐτίμεον Μασίστιον, οἱ δὲ Ἕλληνες ὡς τὴν ἵππον ἐδέξαντο προσβαλοῦσαν καὶ δεξάμενοι ὤσαντο, ἐθάρσησάν τε πολλῷ μᾶλλον, καὶ πρῶτα μὲν ἐς ἅμαξαν ἐσθέντες τὸν νεκρὸν παρὰ τὰς τάξις ἐκόμιζον· ὁ δὲ νεκρὸς ἦν θέης ἄξιος μεγάθεός τε εἶνεκεν καὶ κάλλεος. τῶν δὴ εἵνεκεν καὶ ταῦτα ἐποίευν· ἐκλείποντες τὰς τάξις ἐφοίτεον θηησόμενοι Μασίστιον. μετὰ δὲ ἔδοξέ σφι ἐπικαταβῆναι ἐς Πλαταιάς· ὁ γὰρ χῶρος ἐφαίνετο πολλῷ ἐὼν ἐπιτηδεώτερός σφι ἐνστρατοπεδεύεσθαι ὁ Πλαταιικὸς τοῦ Ἐρυθραίου τά τε ἄλλα καὶ εὐυδρότερος. ἐς τοῦτον δὴ τὸν χῶρον καὶ ἐπὶ τὴν

25. 4. ὤσαντο: zu VI 37 3.

6f. μεγάθεος-κάλλεος: zu I 112 2. — ταῦτα, st. τάδε; zu I 137 2.

8. Vgl. VIII 24f. Il. χ 369 ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν Οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν Ἕκτορος.

9. ἐπικαταβῆναι, von den Höhen hinab in die Ebene, um dort den Feinden eine Schlaeht anzubieten. Vgl. VIII 38 3.

11. τά τε ἄλλα stört die Harmonie der Satzfügung. H. gebraucht aber die Formel τά τε ἄλλα καί auch sonst (V 62 17), nur um den folgenden Begriff oder Satztheil als besonders wichtig hervorzuheben, im Sinne von καὶ δὴ καί, ohne Rücksicht auf die eigentliche Bedeutung; sonst hätte zu εὐυδρότερος als spezieller Begründung von ἐπιτηδεώτερος noch ἐών treten müssen. Er wollte aber dieses Wort zu ἐπιτηδεώτερος ἐών parallelisirt, nicht ihm snbordinirt wissen.

κρήνην τὴν Γαργαφίην τὴν ἐν τῷ χάρῳ τούτῳ ἐοῦσαν ἔδοξέ σφι χρεὼν εἶναι ἀπικέσθαι καὶ διαταχθέντας στρατοπεδεύεσθαι. ἀναλαβόντες δὲ τὰ ὅπλα ἦισαν διὰ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος παρ' Ὑσιὰς ἐς τὴν Πλαταιίδα γῆν, ἀπικόμενοι δὲ ἐτάσσοντο κατ' ἔθνεα πλησίον τῆς τε κρήνης τῆς Γαργαφίης καὶ τοῦ τεμένεος τοῦ Ἀνδροκράτεος τοῦ ἥρωος, δι' ὄχθων τε οὐκ ὑψηλῶν καὶ ἀπέδου χωρίου.

Ἐνθαῦτα ἐν τῇ διατάξι ἐγένετο λόγων πολλὸς ὠθισμὸς Τεγεητέων τε καὶ Ἀθηναίων· ἐδικαίευν γὰρ αὐτοὶ ἑκάτεροι ἔχειν τὸ ἕτερον κέρας, καὶ καινὰ καὶ παλαιὰ παραφέροντες ἔργα. τοῦτο μὲν οἱ Τεγεῆται ἔλεγον τάδε. „ἡμεῖς αἰεί κοτε ἀξιεύμεθα ταύτης τῆς τάξιος ἐκ τῶν συμμάχων ἁπάντων, ὅσαι ἤδη ἔξοδοι κοιναὶ ἐγένοντο Πελοποννησίοισι καὶ τὸ παλαιὸν καὶ τὸ νέον, ἐξ ἐκείνου τοῦ χρόνου ἐπείτε Ἡρακλεῖδαι ἐπειρέοντο μετὰ τὸν Εὐρυσθέος θάνατον κατιόντες ἐς Πελοπόννησον. τότε

13. Die gargaphische Quelle entspraog am Nordfufse des Kithaeron und flofs etwa ¼ M. östlich von Plataeae (c. 52 10), schon im Gebiete dieser Stadt (Paus. IX 4 2). Sicher nachzuweisen ist sie heute nicht mehr.

17. *κατ' ἔθνεα*: s. c. 28.

18f. Die Quelle auf dem rechten Flügel (c. 49 11 vgl. mit c. 28 2) und das Heroon auf dem linken in der Ebene am Asopos, an der Strafse von Plataeae nach Thehen (Thuk. III 24), bildeten die äufserstenPunkte der neuen, nunmehr vom Fufse des Gebirgs nordwärts in die Ebene (c. 40) hinabreichenden Aufstellung. Ihre Front stand jetzt gegen Osten, während sie bei Erythrae mehr gegen Norden gerichtet gewesen. Für die Entwickelung des allmälig sehr gewachsenen Heeres war hier mehr Raum und zugleich deckte ein vom Kithaeron auslaufender Höhenzug (*ὄχθοι*) fast bis zur Asopos-ebene vor der feindlichen Reiterei, während die Perser ihr festes Lager nun nicht mehr in unmittelbarer Nähe hatten. — *Ἀνδροκράτεος*, eines plataeischen Heiligen (Plut. Arist. 11).

Rangstreit der Tegeaten und Athener (c. 26f.).

26. *λόγων ὠθισμός*: zu III 76 10.

3. *τὸ ἕτερον κέρας*, den linken Flügel. Der rechte gehörte als unbestrittenes Vorrecht den Spartiaten (c. 28 2).

4. *τοῦτο μέν*: das Entsprechende c. 27 2. Vgl. zu IV 76 4.

5. *ἐκ* = *ὑπό*, ionisch.

6. *ὅσαι-ἐγένοντο* 'bei allen gemeinschaftlichen Auszügen die bis jetzt Statt hatten'.

7. *τὸ νέον* st. *νέον, νεωστί*, ist sonst nicht üblich und wohl wegen *τὸ παλαιόν* hier geneuert. Vgl. auch *τὰ νεώτερα* VI 35 5. — *ἐξ ἐκείνου τοῦ χρόνου*, zu *αἰεί κοτε* anzuschliefsen.

9. *τότε*, mit Asyndeton, wie VII 10γ 5.

εὑρόμεθα τοντο διὰ πρῆγμα τοιόνδε. ἐπεὶ μετ' Ἀχαιῶν καὶ Ἰώνων τῶν τότε ἐόντων ἐν Πελοποννήσῳ ἐκβωθήσαντες ἐς τὸν Ἰσθμὸν ἱζόμεθα ἀντίοι τοῖσι κατιοῦσι, τότε ὧν λόγος Ὕλλον ἀγορεύσασθαι ὡς χρεὼν εἴη τὸν μὲν στρατὸν τῷ στρατῷ μὴ ἀνακινδυνεύειν συμβάλλοντα, ἐκ δὲ τοῦ Πελοποννησίου στρατοπέδου τὸν ἂν σφέων αὐτῶν κρίνωσι εἶναι ἄριστον, τοῦτόν οἱ μουνομαχῆσαι ἐπὶ διακειμένοισι. ἔδοξέ τε τοῖσι Πελοποννησίοισι ταῦτα εἶναι ποιητέα, καὶ ἔταμον ὅρκια ἐπὶ λόγῳ τοιῷδε, ἢν μὲν Ὕλλος νικήσῃ τὸν Πελοποννησίων ἡγεμόνα, κατιέναι Ἡρακλείδας ἐπὶ τὰ πατρώια, ἢν δὲ νικηθῇ, τὰ ἔμπαλιν Ἡρακλείδας ἀπαλλάσσεσθαι καὶ ἀπάγειν τὴν στρατιὴν ἑκατόν τε ἐτέων μὴ ζητῆσαι κάτοδον ἐς Πελοπόννησον. προεκρίθη τε δὴ ἐκ πάντων συμμάχων ἐθελοντὴς Ἔχεμος ὁ Ἠρόπου τοῦ Φηγέος στρα-

11. *τῶν τότε ἐόντων*, nur für *Ἰώνων* bestimmt. Vgl. I 6 8.

12. *ἐς τὸν Ἰσθμόν*: der Kampf soll an der Gränze zwischen dem megarischen und korinthischen Gebiete geschehen sein (Paus. I 44 11).

13. *ὧν*, analeptisch, wie VII 137 13. — *ἀγορεύσασθαι* nur hier, 'habe verkündigen lassen', näml. ihnen, den Peloponnesiern.

14. *ἀνακινδυνεύειν*: zu VIII 68 9.

17. *ἐπὶ διακειμένοισι*, sonst *ἐπὶ συγκειμένοις*, *ῥητοῖσι* (V 57 10), *ὡμολογημένοις*. Hes. Sc. 20 *ὣς γάρ οἱ διέκειτο* (certum erat), *θεοὶ δ' ἐπιμάρτυροι ἦσαν*. Nachahmend Dionys. Antiq. IX 29 *οὐδ' ἐπὶ διακειμένοις καὶ ῥητοῖς τὰς ἡγεμονίας παραλαμβάνομεν*. — *τε*: zu VI 41 7.

21. *τὰ ἔμπαλιν*=*ὀπίσω* (*ἀπαλλάσσεσθαι*).

22. *ἑκατὸν ἐτέων*, d. h. nicht vor dem vierten Geschlechte. Temenos Aristodemos und Kresphontes, unter denen sie endlich zurückkehrten, waren bekanntlich die vierten Nachkommen des Hyllos; s. VII 204. VIII 131.

24. Paus. VIII 5 1 *Λυκούργου δὲ ἀποθανόντος Ἔχεμος ὁ Ἠρόπου τοῦ Κηφέως τοῦ Ἀλέου τὴν Ἀρκάδων ἔσχεν ἀρχήν. ἐπὶ τούτου Δωριεῖς κατιόντας ἐς Πελοπόννησον ὑπὸ ἡγεμόνι Ὕλλῳ τῷ Ἡρακλέους Ἀχαιοὶ περὶ Ἰσθμὸν τὸν Κορινθίων κρατοῦσι μάχῃ, καὶ Ἔχεμος ἀποκτίννυσιν Ὕλλον μονομαχήσαντά οἱ κατὰ πρόκλησιν*, 54 10 *ἐθεασάμην δὲ καὶ ἄλλα ἐν Τεγέᾳ τοσάδε, Ἀλέου οἰκίαν καὶ Ἐχέμου μνῆμα καὶ ἐπειργασμένην ἐς στήλην τὴν Ἐχέμου πρὸς τὸν Ὕλλον μάχην*. Pind. O. XI 66 *ὁ δὲ πάλᾳ κυδαίνων* (in den von Herakles eingesetzten Olympien) *Ἔχεμος Τεγέαν*. — *Φηγέος*, ein Versehen des Vf. statt *Κηφέος*. Jener gehört in die Sage von Psophis (einst *Φηγία*, Paus. VIII 24 8ff.) im nordwestlichen Arkadien; *Κηφεύς* aber, nach übereinstimmender Ueberlieferung, in die mythische Geschichte Tegea's. Sein Stamm ist nach Apollod. I 9 16. II 7 3. III 9 1. Paus. VIII 4 8ff. Schol. Apoll. Rh. I 162:

25 *τηγός τε ἐὼν καὶ βασιλεὺς ἡμέτερος, καὶ ἐμουνομάχησέ τε καὶ ἀπέκτεινε Ὕλλον. ἐκ τούτου τοῦ ἔργου εὑρόμεθα ἐν Πελοποννησίοισι τοῖσι τότε καὶ ἄλλα γέρεα μεγάλα, τὰ διατελέομεν ἔχοντες, καὶ τοῦ κέρεος τοῦ ἑτέρου αἰεὶ ἡγεμονεύειν κοινῆς ἐξόδου γινομένης. ὑμῖν μέν νυν ὦ*
30 *Λακεδαιμόνιοι οὐκ ἀντιεύμεθα, ἀλλὰ διδόντες αἵρεσιν ὁκοτέρου βούλεσθε κέρεος ἄρχειν παρίεμεν· τοῦ δὲ ἑτέρου φαμὲν ἡμέας ἱκνέεσθαι ἡγεμονεύειν κατά περ ἐν τῷ πρόσθε χρόνῳ. χωρίς τε τούτου τοῦ ἀπηγημένου ἔργου ἀξιονικότεροί εἰμεν Ἀθηναίων ταύτην τὴν τάξιν ἔχειν·*
35 *πολλοὶ μὲν γάρ τε καὶ εὖ ἔχοντες πρὸς ὑμέας ἡμῖν, ἄνδρες Σπαρτιῆται, ἀγῶνες ἀγωνίδαται, πολλοὶ δὲ καὶ πρὸς ἄλλους. οὕτω ὦν ἡμέας δίκαιον ἔχειν τὸ ἕτερον κέρας ἤπερ Ἀθηναίους· οὐ γάρ σφί ἐστι ἔργα οἷά περ*
27 *ἡμῖν κατεργασμένα, οὔτ' ὦν καινὰ οὔτε παλαιά.“ οἱ μὲν ταῦτα ἔλεγον, Ἀθηναῖοι δὲ πρὸς ταῦτα ὑπεκρίναντο τάδε. „ἐπιστάμεθα μὲν σύνοδον τήνδε μάχης εἵνεκεν συλλεγῆναι πρὸς τὸν βάρβαρον, ἀλλ' οὐ λόγων·*
5 *ἐπεὶ δὲ ὁ Τεγεήτης προέθηκε καὶ παλαιὰ καὶ καινὰ λέγειν τὰ ἑκατέροισι ἐν τῷ παντὶ χρόνῳ κατέργασται χρηστά,*



29. *κοινῆς ἐξόδου*, als wenn auch schon vor der dorischen Zeit eine Symmachie der Peloponnesier bestanden hätte.

31. *παρίεμεν*, se. *ἄρχειν*. Vgl. VII 161 16.

32. *ἱκνέεσθαι*: zu II 36 4.

35. *εὖ ἔχοντες* 'glückliche' (c. 27 19 u. 27).

38. *ἤπερ Ἀθηναίους*: bei *δίκαιον* war noch nicht beabsichtigt *ἡμέας* in Vergleich zu den Athenern zu stellen; da es nun doch nachträglich geschieht, mufs *ἤπερ* allein ohne voraufgegangenen Komparativ diese Funktion tragen, 'eher als'. Vgl. zu III 40 8.

27. 5. *προέθηκε* 'als Aufgabe hingestellt hat'. Das *λέγειν καὶ παλαιὰ καὶ καινά* ist gewissermafsen ein *ἀγὼν τῶν λεγόντων τὸν προέθηκε* (zu VIII 49 2) *ὁ Τεγεήτης*.

6. *ἐν τῷ παντὶ χρόνῳ*: zu V 9 15. Oben c. 26 5 *αἰεί κοτε*. — *χρηστά, quae fortiter utrique gessimus*, und

ἀναγκαίως ἡμῖν ἔχει δηλῶσαι πρὸς ὑμέας ὅθεν ἡμῖν πατρώιόν ἐστι ἐοῦσι χρηστοῖσι αἰεὶ πρώτοισι εἶναι μᾶλλον ἢ Ἀρκάσι. Ἡρακλείδας, τῶν οὗτοί φασι ἀποκτεῖναι τὸν ἡγεμόνα ἐν Ἰσθμῷ, τούτους πρότερον ἐξελαυνομένους ὑπὸ πάντων τῶν Ἑλλήνων ἐς τοὺς ἀπικοίατο φεύγοντες δουλοσύνην πρὸς Μυκηναίων, μοῦνοι ὑποδεξάμενοι τὴν Εὐρυσθέος ὕβριν κατείλομεν, σὺν ἐκείνοισι μάχῃ νικήσαντες τοὺς τότε ἔχοντας Πελοπόννησον. τοῦτο δὲ Ἀργείους τοὺς μετὰ Πολυνείκεος ἐπὶ Θήβας ἐλάσαντας, τελευτήσαντας τὸν αἰῶνα καὶ ἀτάφους κειμένους, στρατευσάμενοι ἐπὶ τοὺς Καδμείους ἀνελέσθαι τε τοὺς νεκρούς φαμεν καὶ θάψαι τῆς ἡμετέρης ἐν Ἐλευσῖνι. ἔστι δὲ ἡμῖν ἔργον εὖ ἔχον καὶ ἐς Ἀμαζονί-

8. *χρηστοῖσι, fortibus* (unten 38 n. V 109 17).

9 ff. Apollod. II 8 *μετασπάντος δὲ Ἡρακλέους εἰς θεοὺς οἱ παῖδες αὐτοῦ φυγόντες Εὐρυσθέα πρὸς Κήυκα παρεγένοντο. ὡς δὲ ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως καὶ πόλεμον ἀπειλοῦντος ἐδεδοίκεσαν, Τραχῖνα καταλιπόντες διὰ τῆς Ἑλλάδος ἔφυγον. διωκόμενοι δὲ ἦλθον εἰς Ἀθήνας, καὶ καθεσθέντες ἐπὶ τὸν ἔλεου βωμὸν ἠξίουν βοηθεῖσθαι. Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐτοὺς πρὸς τὸν Εὐρυσθέα πόλεμον ὑπέστησαν. καὶ τοὺς μὲν παῖδας αὐτοῦ ἀπέκτειναν, αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ' ἅρματος καὶ πέτρας ἤδη καθιππεύοντα Σκειρωνίδας κτείνει διώξας Ὕλλος.* — Diese und die drei folgenden mythischen Grofsthaten der Tapferkeit und des uneigennützigen Edelmuthes der Athener sind ihren Rednern und Dichtern zu aller Zeit ein stehendes Thema des Selbstruhmes geworden. Vgl. Isokr. Paneg. 54 ff. Panath. 168 ff. 193 f. Plutaik. 53. Plato Menex. 239. Ps.-Lys. Epitaph. 3 ff. Ps.-Demosth. Epitaph. 8 u. A., insbesondere für die Heraklidensage das nach ihnen benannte Drama des Euripides.

15. *τοῦτο δέ*: zu V 45 5.

18. *τοὺς νεκρούς*, Erneuerung von *Ἀργείους*, aber in einer der fortgeschrittenen Erzählung entsprechenden bestimmteren Fassung. — Wie die Sage diese Wendung zum Ruhm der Athener nahm, läfst sich noch nachweisen. In ältester Form läfst sie den Adrast durch Kunst der Rede (*μελίγηρυν*) die Thebaner bewegen den Todten die letzte Ehre zu erzeigen (Pind. O. VI 15. Il. *ξ* 114. Paus. IX 18 2); dann ist es Theseus der dies in Güte (so Aeschylos in den *Ἐλευσίνιοι*, Plut. Thes. 29), oder, nach weiterer Ausdichtung, durch Waffengewalt erreicht (so Enripides in den *Ἱκετίδες*). — *ἐν Ἐλευσῖνι*, wo man denn auch die Grabmäler zu zeigen wufste (Plut. a. O. Paus. I 39 2).

19 ff. *Ἀμαζονίδες*, ionisch-poetische Nebenform zu *Ἀμαζόνες*. Sonst ist *Ἀμαζονίς* auch, wie *Αἰθιοπίς Θηβαΐς Θησηίς Ἰλιάς*, der Titel eines epischen Gedichtes. — Theseus hatte auf einem Zuge gegen die Amazonen oder als Be-

δας τὰς ἀπὸ Θερμώδοντος ποταμοῦ ἐσβαλούσας κοτὲ ἐς γῆν τὴν Ἀττικήν. καὶ ἐν τοῖσι Τρωικοῖσι πόνοισι οὐδαμῶν ἐλειπόμεθα. ἀλλ' οὐ γάρ τι προέχει τούτων ἐπιμεμνῆσθαι· καὶ γὰρ ἂν χρηστοί τε ἐόντες τότε ὠυτοὶ νῦν ἂν εἶεν φλαυρότεροι, καὶ τότε ἐόντες φλαῦροι νῦν ἂν εἶεν ἀμείνονες. παλαιῶν μέν νυν ἔργων ἅλις ἔστω· ἡμῖν δὲ εἰ μηδὲν ἄλλο ἐστὶ ἀποδεδεγμένον, ὥσπερ ἐστὶ πολλά τε καὶ εὖ ἔχοντα εἰ τέοισι καὶ αλλοισι Ἑλλήνων, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐν Μαραθῶνι ἔργου ἄξιοί εἰμεν τοῦτο τὸ γέρας ἔχειν καὶ ἄλλα πρὸς τούτῳ, οἵτινες μοῦνοι Ἑλλήνων δὴ μουνομαχήσαντες τῷ Πέρσῃ καὶ ἔργῳ τοσούτῳ ἐπιχειρήσαντες περιεγενόμεθα καὶ ἐνικήσαμεν ἔθνεα ἕξ τε καὶ τεσσεράκοντα. ἆρ' οὐ δίκαιοί εἰμεν ἔχειν ταύτην τὴν τάξιν ἀπὸ τούτου μούνου τοῦ ἔργου; ἀλλ' οὐ γὰρ ἐν τῷ τοιῷδε τάξιος εἵνεκεν στασιάζειν πρέπει, ἄρτιοί εἰμεν πείθεσθαι ὑμῖν ᾧ Λακεδαιμόνιοι, ἵνα δοκέει ἐπιτηδεώτατον ἡμέας εἶναι ἑστάναι καὶ κατ' οὔστινας· πάντῃ γὰρ τεταγμένοι πειρησόμεθα εἶναι

gleiter des Herakles (zu IV 110 2) die Antiope (oder Hippolyte) entführt, und war darauf von einem Rachezuge des Weiberheeres in seinem Lande heimgesucht worden; der Kampf wogte lange unentschieden an den Hügeln der Pnyx und des Museion, bis die meisten der Amazonen nebst ihrer Führerin gefallen und der Rest sich zu Frieden verstand. So die Grundzüge der vielfach variirten Sage, die keinen anderen lokalen Anhalt hatte als uralte Grabhügel (*Ἀμαζόνεια*), deren man in Athen Megara Chalkis (auf Euboea), in Boeotien und Thessalien aufwies (Plut. Thes. 27 f. Paus. I 41 7 u. s.). Dichtern Sagenschreibern und Rednern, vorzüglich aber den bildenden Künsten war sie einer der beliebtesten Stoffe. — *ἀπὸ Θερμώδοντος*: zu IV 110 6.

22. *οὔ τι προέχει*, wie sonst *οὐκ ἄμεινον* (I 187 8).

26. *ὥσπερ ἐστί*, *sicuti sunt*, sc. *ἀποδεδεγμένα*.

28. *ἀλλὰ καί*, *at vel*.

30. *δή*: zu VIII 124 14.

32 f. Die ruhmredige Zahl trifft genau zu für die *κατ' ἤπειρον στρατευόμενα ἔθνεα*, die VII 60—80 im Heere des Xerxes aufgezählt sind, hat aber die haltlose Voraussetzung, daſs schon bei Marathon die sämmtlichen Völkerschaften vertreten gewesen seien. — *ἆρ' οὐ — ἔργου* sind schwerlich echt oder doch unverdorben. Denn abgesehen von dem unmotivirten Asyndeton und dem bei H. nur hier gelesenen *ἆρα*, ist die Frage nur eine ganz überflüssige matte Wiederholung aus Z. 28 f.

34. *ἀλλ' οὐ γάρ* 'da aber nicht'. — *ἐν τῷ τοιῷδε* 'in gegenwärtiger Lage'.

36. *κατ'*: zu VIII 55 1.

χρηστοί. ἐξηγέεσθε δὲ ὡς πεισομένων.“ οἱ μὲν ταῦτα ἀμείβοντο, Λακεδαιμονίων δὲ ἀνέβωσε ἅπαν τὸ στρατόπεδον Ἀθηναίους ἀξιονικοτέρους εἶναι ἔχειν τὸ κέρας ἢπερ Ἀρκάδας. οὕτω δὴ ἔσχον οἱ Ἀθηναῖοι καὶ ὑπερεβάλοντο τοὺς Τεγεήτας.

Μετὰ δὲ ταῦτα ἐτάσσοντο ὧδε οἱ ἐπιφοιτέοντές τε καὶ οἱ ἀρχὴν ἐλθόντες Ἑλλήνων. τὸ μὲν δεξιὸν κέρας εἶχον Λακεδαιμονίων μύριοι· τούτων δὲ τοὺς πενταισχιλίους ἐόντας Σπαρτιήτας ἐφύλασσον ψιλοὶ τῶν εἱλωτέων πενταισχίλιοι καὶ τρισμύριοι, περὶ ἄνδρα ἕκαστον ἑπτὰ τεταγμένοι. προσεχέας δὲ σφίσι εἵλοντο ἑστάναι οἱ Σπαρτιῆται τοὺς Τεγεήτας καὶ τιμῆς εἵνεκεν καὶ ἀρετῆς· τούτων δ' ἦσαν ὁπλῖται χίλιοι καὶ πεντακόσιοι. μετὰ δὲ τούτους ἵσταντο Κορινθίων πενταισχίλιοι, παρὰ δὲ σφίσι εὕροντο παρὰ Παυσανίεω ἑστάναι Ποτιδαιητέων τῶν ἐκ Παλλήνης τοὺς παρεόντας τριηκοσίους. τούτων δὲ ἐχόμενοι ἵσταντο Ἀρκάδες Ὀρχομένιοι ἑξακόσιοι, τούτων δὲ Σικυώνιοι τρισχίλιοι. τούτων δὲ εἴχοντο Ἐπιδαυρίων ὀκτακόσιοι. παρὰ δὲ τούτους Τροιζηνίων ἐτάσσοντο χίλιοι, Τροιζηνίων δὲ ἐχόμενοι Λεπρεητέων διηκόσιοι, τούτων δὲ Μυκηναίων

41. ἔσχον, τὸ κέρας.

Schlaebtordnung der beiden Heere (c. 28—32).

28. 4. ἐφύλασσον, thaten Knappendienste. Von den jedem Spartiaten zugehörigen Heloten waren durchschnittlich je sieben zum leichten Felddienst aufgeboten, von denen je einem (dem s. g. θεράπων) vorzugsweise die Bedienung nnd Begleitung seines persönlichen Herren oblag (zu VII 229 11), während die anderen gewifs zu militärischen Körpern vereinigt waren, deren Verwendnng dem Könige znstand (VI 80 1).

7. τιμῆς εἵνεκεν = ἐπὶ τιμῇ, aber ἀρετῆς εἵνεκεν = δι' ἀρετήν. Derselbe Doppelsinn Od. o 232 δεσμῷ ἐν ἀργαλέῳ δέδετο-Εἵνεκα Νηλῆος Κούρης ἄτης τε βαρείης.

11. Ποτιδαιητέων, die ihre Kolonisten waren.

12. Aufser den Tegeaten und Orchomeniern waren keine Arkader im Heere; anders bei Thermopylae (VII 202) nnd am Isthmos (VIII 73 3). Die Mantineer kamen zu spät, und ebenso die Eleer (c. 77).

16f. Λεπρεητέων: zu IV 148 14. — Mykenae und Tiryns bestanden damals noch als selbständige Gemeinwesen; sechzehn Jahre später wurden sie von Argos erobert nnd zerstört (Diod. XI 65. Strab. 372f. Paus. II 16 5. 25 8. VII 25 6).

καὶ Τιρυνθίων τετρακόσιοι, τούτων δὲ ἐχόμενοι Φλιάσιοι χίλιοι. παρὰ δὲ τούτους ἔστασαν Ἑρμιονέες τριηκόσιοι. Ἑρμιονέων δὲ ἐχόμενοι ἵσταντο Ἐρετριέων τε καὶ Στυρέων ἑξακόσιοι, τούτων δὲ Χαλκιδέες τετρακόσιοι, τούτων δὲ Ἀμπρακιητέων πεντακόσιοι. μετὰ δὲ τούτους Λευκαδίων καὶ Ἀνακτορίων ὀκτακόσιοι ἔστασαν, τούτων δὲ ἐχόμενοι Παλέες οἱ ἐκ Κεφαλληνίης διηκόσιοι. μετὰ δὲ τούτους Αἰγινητέων πεντακόσιοι ἐτάχθησαν. παρὰ δὲ τούτους ἐτάσσοντο Μεγαρέων τρισχίλιοι. εἵχοντο δὲ τούτων Πλαταιέες ἑξακόσιοι. τελευταῖοι δὲ καὶ πρῶτοι Ἀθηναῖοι ἐτάσσοντο, κέρας ἔχοντες τὸ εὐώνυμον, ὀκτακισχίλιοι· ἐστρατήγεε δ' αὐτῶν Ἀριστείδης ὁ Λυσιμάχου. οὗτοι, πλὴν τῶν ἑπτὰ περὶ ἕκαστον τεταγμένων Σπαρτιήτῃσι, ἦσαν ὁπλῖται, συνάπαντες ἐόντες ἀριθμὸν τρεῖς τε μυριάδες καὶ ὀκτὼ χιλιάδες καὶ ἑκατοντάδες ἑπτά. ὁπλῖται μὲν οἱ πάντες συλλεγέντες ἐπὶ τὸν βάρβαρον ἦσαν τοσοῦτοι, ψιλῶν δὲ πλῆθος ἦν τόδε, τῆς μὲν Σπαρτιητικῆς τάξιος πεντακισχίλιοι καὶ τρισμύριοι ἄνδρες ὡς ἐόντων ἑπτὰ περὶ ἕκαστον ἄνδρα, καὶ τούτων πᾶς τις παράρτητο ὡς ἐς πόλεμον· οἱ δὲ τῶν λοιπῶν Λακεδαιμονίων καὶ Ἑλλήνων ψιλοί, ὡς εἷς περὶ ἕκαστον ἐὼν ἄνδρα, πεντακόσιοι καὶ τετρακισχίλιοι καὶ τρισμύριοι ἦσαν. ψιλῶν μὲν δὴ τῶν ἁπάντων τῶν μαχίμων ἦν τὸ πλῆθος ἓξ τε μυριάδες καὶ ἐννέα χιλιάδες καὶ ἑκατοντάδες πέντε, τοῦ δὲ σύμπαντος Ἑλληνικοῦ τοῦ συνελθόντος ἐς Πλαταιὰς σύν τε ὁπλίτῃσι καὶ ψιλοῖσι τοῖσι μαχίμοισι ἕνδεκα μυ-

23. Die Stadt hiefs *Παλή* od. *Παλοῦς*, der Einwohner *Παλεύς* od. *Παλαιεύς*. Auf den Siegesinschriften sind sie nicht erwähnt (zu c. 83 3).

28. *ὀκτακισχίλιοι*: bei Marathon 9000 oder, nach Einigen, 10000. Sie hatten aber zugleich Mannschaften auf der Flotte (c. 99 ff.).

29. 10. *ὡς-ἄνδρα* 'indem nämlich im Durchschnitt auf je einen Hopliten ein Leichter kam'. Dafs dies nicht so zu verstehen sei als ob die Zahl der Hopliten und Leichten sich genau entsprachen, was auch an sich nicht wahrscheinlich, geht aus der Zahl der *ψιλοί* hervor, welche die der Anderen um 800 überschreitet. Vgl. übrigens zu VII 186 5. Der eigentliche Trofs ist nicht mitgerechnet (c. 30 2 *τῶν μαχίμων*).

ριάδες ἦσαν, μιῆς χιλιάδος, πρὸς δὲ ὀκτακοσίων ἀνδρῶν καταδέουσαι. σὺν δὲ Θεσπιέων τοῖσι παρεοῦσι ἐξεπληροῦντο αἱ ἕνδεκα μυριάδες· παρῆσαν γὰρ καὶ Θεσπιέων ἐν τῷ στρατοπέδῳ οἱ περιεόντες, ἀριθμὸν ἐς ὀκτακοσίους καὶ χιλίους· ὅπλα δὲ οὐδ' οὗτοι εἶχον. οὗτοι μέν νυν ταχθέντες ἐπὶ τῷ Ἀσωπῷ ἐστρατοπεδεύοντο.

Οἱ δ' ἀμφὶ Μαρδόνιον βάρβαροι ὡς ἀπεκήδευσαν **31** Μασίστιον, παρῆσαν, πυθόμενοι τοὺς Ἕλληνας εἶναι ἐν Πλαταιῇσι, καὶ αὐτοὶ ἐπὶ τὸν Ἀσωπὸν τὸν ταύτῃ ῥέοντα. ἀπικόμενοι δὲ ἀντετάσσοντο ὧδε ὑπὸ Μαρδονίου. κατὰ μὲν Λακεδαιμονίους ἔστησε Πέρσας. καὶ δὴ πολλὸν γὰρ περιῆσαν πλήθεϊ οἱ Πέρσαι, ἐπί τε τάξις πλεῦνας ἐκεκοσμέατο καὶ ἐπεῖχον καὶ τοὺς Τεγεήτας. ἔταξε δὲ οὕτω· ὅ τι μὲν ἦν αὐτοῦ δυνατώτατον πᾶν ἀπολέξας ἔστησε ἀντίον Λακεδαιμονίων, τὸ δὲ ἀσθενέστερον παρέταξε κατὰ τοὺς Τεγεήτας. ταῦτα δ' ἐποίεε φραζόντων τε καὶ διδασκόντων Θηβαίων. Περσέων δὲ ἐχομένους ἔταξε Μήδους· οὗτοι δὲ ἐπέσχον Κορινθίους τε καὶ Ποτιδαιήτας καὶ Ὀρχομενίους τε καὶ Σικυωνίους. Μήδων δὲ ἐχομένους ἔταξε Βακτρίους· οὗτοι δὲ ἐπέσχον Ἐπιδαυρίους τε καὶ Τροιζηνίους καὶ Λεπρεήτας τε καὶ Τιρυνθίους καὶ Μυκηναίους τε καὶ Φλιασίους. μετὰ δὲ Βακτρίους ἔστησε Ἰνδούς· οὗτοι δὲ ἐπέσχον Ἑρμιονέας τε καὶ Ἐρετριέας καὶ Στυρέας τε καὶ Χαλκιδέας. Ἰνδῶν δὲ ἐχομένους Σάκας ἔταξε, οἳ ἐπέσχον Ἀμπρακιήτας τε καὶ Ἀνακτορίους καὶ Λευκαδίους τε καὶ Παλέας καὶ Αἰγινήτας. Σακέων δὲ ἐχομένους ἔταξε ἀντία Ἀθηναίων τε καὶ Πλαταιέων καὶ Μεγαρέων Βοιω-

30. 8. *αἱ ἕνδεκα μυριάδες*: zu VIII 82 9.

9. *οἱ περιεόντες*: es waren ihrer 700 bei Thermopylae geblieben (VII 202. 222).

10. *ὅπλα*, schwere Rüstung (c. 63 11). So fochten sie als *ψιλοί*.

31. *ἀπεκήδευσαν*: zu II 40 14.

5 f. *καὶ δὴ πολλὸν γάρ*: vgl. c. 118 *καὶ δὴ μᾶλλον γάρ τι*, auch c. 97 *ἐπ' ἀμφότερα ἐπιλεγόμενοι γάρ*. — *ἐπὶ-τάξις*: zu IV 67 4.

7. *ἐπεῖχον τοὺς Τεγεήτας* 'hereichten noch die Tegeaten, dehnten sich auch noch den T. entlang'.

τούς τε καὶ Λοκροὺς καὶ Μηλιέας τε καὶ Θεσσαλοὺς καὶ Φωκέων τοὺς χιλίους· οὐ γὰρ ὧν ἅπαντες οἱ Φωκέες ἐμήδισαν, ἀλλά τινες αὐτῶν καὶ τὰ Ἑλλήνων αὔξον περὶ τὸν Παρνησσὸν κατειλημένοι, καὶ ἐνθεῦτεν ὁρμεόμενοι ἔφερόν τε καὶ ἦγον τήν τε Μαρδονίου στρατιὴν καὶ τοὺς μετ' αὐτοῦ ἐόντας Ἑλλήνων. ἔταξε δὲ καὶ Μακεδόνας τε καὶ τοὺς περὶ Θεσσαλίην οἰκημένους **32** κατὰ τοὺς Ἀθηναίους. ταῦτα μὲν τῶν ἐθνέων τὰ μέγιστα οὐνόμασται τῶν ὑπὸ Μαρδονίου ταχθέντων, τά περ ἐπιφανέστατά τε ἦν καὶ λόγου πλείστου. ἐνῆσαν δὲ καὶ ἄλλων ἐθνέων ἄνδρες ἀναμεμιγμένοι, Φρυγῶν τε καὶ Μυσῶν καὶ Θρηίκων τε καὶ Παιόνων καὶ τῶν ἄλλων, ἐν δὲ καὶ Αἰθιόπων τε καὶ Αἰγυπτίων οἵ τε Ἑρμοτύβιες καὶ οἱ Καλασίριες καλεόμενοι μαχαιροφόροι, οἵπερ εἰσὶ Αἰγυπτίων μοῦνοι μάχιμοι. τούτους δὲ ἔτι ἐὼν ἐν Φαλήρῳ ἀπὸ τῶν νεῶν ἀπεβιβάσατο ἐόντας ἐπιβάτας· οὐ γὰρ ἐτάχθησαν ἐς τὸν πεζὸν τὸν ἅμα Ξέρξῃ ἀπικόμενον ἐς Ἀθήνας Αἰγύπτιοι. τῶν μὲν δὴ βαρβάρων ἦσαν τριήκοντα μυριάδες, ὡς καὶ πρότερον δεδήλωται· τῶν δὲ Ἑλλήνων τῶν Μαρδονίου συμμάχων οἶδε μὲν οὐδεὶς ἀριθμόν (οὐ γὰρ ὧν ἠριθμήθησαν), ὡς δὲ ἀπεικάσαι, ἐς πέντε μυριάδας συλλεγῆναι εἰκάζω. οὗτοι οἱ παραταχθέντες πεζοὶ ἦσαν, ἡ δὲ ἵππος χωρὶς ἐτέτακτο.

33 Ὡς δὲ ἄρα πάντες οἱ ἐτετάχατο κατά τε ἔθνεα καὶ κατὰ τέλεα, ἐνθαῦτα τῇ δευτέρῃ ἡμέρῃ ἐθύοντο

26. *αὔξαν*, wie VIII 30 5. — *κατειλημένοι*: s. VIII 32.

27. *ἔφερόν τε καὶ ἦγον*: zu VI 42 7.

29. *τοὺς περὶ Θεσσαλίην οἰκημένους*: als solche sind VII 132 sieben Völkerschaften aufgezählt.

32. *ταῦτα-οὐνόμασται*, wie VII 184 28.

7. S. II 164ff.

9. *ἀπὸ τῶν νεῶν*, deren sie 200 gestellt hatten (VII 89 12).

15. *ὡς ἀπεικάσαι, si coniecturae locus est.* Ebenso Soph. O. K. 16. Trach. 141. Eur. Or. 1298. Sonst auch *ὡς εἰκάσαι* (I 34 2) und *ὡς ἐπεικάσαι*.

Die Seher in beiden Heeren, Tisamenos (c. 33—35) und Hegesistratos (c. 36f.).

33. *κατά τε ἔθνεα καὶ κατὰ τέλεα* bez. den doppelten Eintheilungsgrund, nach Stämmen und Regimen-

καὶ ἀμφότεροι. Ἕλλησι μὲν Τισαμενὸς Ἀντιόχου ἦν ὁ Θυόμενος· οὗτος γὰρ δὴ εἵπετο τῷ στρατεύματι τούτῳ μάντις· τὸν ἐόντα Ἠλεῖον καὶ γένεος τοῦ Ἰαμιδέων [Κλυτιάδην] Λακεδαιμόνιοι ἐποιήσαντο λεωσφέτερον. Τισαμενῷ γὰρ μαντευομένῳ ἐν Δελφοῖσι περὶ γόνου ἀνεῖλε ἡ Πυθίη ἀγῶνας τοὺς μεγίστους ἀναιρήσεσθαι πέντε. ὁ μὲν δὴ ἁμαρτὼν τοῦ χρηστηρίου προσεῖχε γυμνασίοισι ὡς ἀναιρησόμενος γυμνικοὺς ἀγῶνας, ἀσκέων δὲ πεντάεθλον παρ' ἓν πάλαισμα ἔδραμε νικᾶν Ὀλυμπιάδα,

tern. Vgl. zu VII 212 8. — *καὶ ἀμφοτέρους* 'béide' (I 17 16). Bei den Persern hätte man es nicht erwarten sollen.

5 f. *μάντις*, als *ἱροσκόπος*, *haruspex*. Das Wort enthält den Gattungsbegriff für Alle welche berufsmäfsig auslegen *δι' ὧν οἱ θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνουσι* (Xen. Mem. IV 7 10), also Opfer- Zeichen- und Traumdeuter. — Das berühmte Geschlecht der *Ἰαμίδαι*, das am Altare des olympischen Zeus aus dem Brandopfer weissagte (VIII 134 7), leitete seinen Ursprung und Namen her von *Ἴαμος*, einem Sohne Apollon's (Pind. O. VI). Als Staats- und Kriegspriester waren seine Mitglieder in allen Theilen von Hellas anzutreffen (vgl. V 44). Neben ihm waren in Elis als *μάντεις* angesehen die *Κλυτιάδαι* (od. *Κλυτίδαι*) und die *Τελλιάδαι*. Die ersteren hatten *Κλυτίος* zum Ahnherrn, einen Sohn des Alkmaeon, aus dem Hause der Melampodiden oder Amytheoniden (zu II 49 1), der nach dem Tode seines Vaters aus Argos nach Elis eingewandert sein sollte (Paus. VI 17 6). Das Wort *Κλυτιάδην* ist also ein unächter Zusatz. — *λεωσφέτερον* 'Volksihrigen', *πολιήτην σφέτερον* (19). Ein *ἅπαξ λεγόμενον*, das möglicherweise dem lakonischen Dialekte entlehnt ist.

7. *περὶ γόνου*: er war wohl kinderlos. Die Antwort nimmt dabei Gelegenheit ihm auch seine sonstige Bestimmung zu enthüllen. Vgl. IV 150 9. 155 15 ff. V 63 4. Sein oder wohl richtiger seines Bruders Enkel Hegias war bei der Schlacht von Aegospotamoi als Opferpriester gegenwärtig (Paus. III 11 5).

8. *ἀγῶνας-ἀναιρήσεσθαι*: zu V 102 12.

11. *παρ' ἓν πάλαισμα* 'bis auf einen Gang', worin er nämlich unterlag. Ob dies *πάλαισμα* irgend einer der fünf im *πενταθλον* begriffenen Kampfarten (Sprung, Lauf, Diskos- und Speerwurf, Ringen) oder im engeren Sinne der 'Ringkampf' (*πάλη*) war, lassen die Worte unbestimmt. Paus. III 11 6 nimmt sie in letzterer Weise (*καίτοι τὰ δύο γε ἦν πρῶτος· καὶ γὰρ δρόμῳ τε ἐκράτει καὶ πηδήματι Ἱερώνυμον Ἄνδριον· καταπαλαισθεὶς δὲ ὑπ' αὐτοῦ καὶ ἁμαρτὼν τῆς νίκης κτλ.*), läfst aber Diskos- und Speerwurf aus. Das Ringen war natürlich der letzte Gang; in ihm mafsen sich die beiden Kämpfer, die in den vier ersten aus der gröfseren Zahl der Mitkämpfer als die Sieger hervorgegangen waren. — *ἔδραμε*: die gewöhnliche Redensart ist *παρὰ μικρὸν ἐλθεῖν* c. infin., *parum abfuisse quin*. Eur. Herakl. 295 *παρὰ μικρὸν ψυχὴν ἦλθεν διαναῖσαι*, Thuk. VIII 76 ἡ (πόλις) *παρ' ἐλάχιστον δὴ ἦλθε*

Ἱερωνύμῳ τῷ Ἀνδρίῳ ἐλθὼν ἐς ἔριν. Λακεδαιμόνιοι δὲ μαθόντες οὐκ ἐς γυμνικοὺς ἀλλ' ἐς ἀρηίους ἀγῶνας φέρον τὸ Τισαμενοῦ μαντήιον, μισθῷ ἐπειρέοντο πείσαντες Τισαμενὸν ποιέεσθαι ἅμα Ἡρακλειδέων τοῖσι βασιλεῦσι ἡγεμόνα τῶν πολέμων. ὁ δὲ ὀρέων περὶ πολλοῦ ποιευμένους Σπαρτιήτας φίλον αὐτὸν προσθέσθαι, μαθὼν τοῦτο ἀνετίμα, σημαίνων σφι ὡς ἢν μιν πολιήτην σφέτερον ποιήσωνται τῶν πάντων μεταδιδόντες ποιήσει ταῦτα, ἐπ' ἄλλῳ μισθῷ δ' οὔ. Σπαρτιῆται δὲ πρῶτα μὲν ἀκούσαντες δεινὰ ἐποιεῦντο καὶ μετίεσαν τῆς χρησμοσύνης τὸ παράπαν, τέλος δὲ δείματος μεγάλου ἐπικρεμαμένου τοῦ Περσικοῦ τούτου στρατεύματος καταίνεον μετιόντες. ὁ δὲ γνοὺς τετραμμένους σφέας οὐδ' οὕτω ἔτι ἔφη ἀρκέεσθαι τούτοισι μούνοισι, ἀλλὰ δεῖν ἔτι καὶ τὸν ἀδελφεὸν ἑωυτοῦ Ἠγίην γίνεσθαι Σπαρτιήτην
34 ἐπὶ τοῖσι αὐτοῖσι λόγοισι τοῖσι καὶ αὐτὸς γίνεται. ταῦτα δὲ λέγων οὗτος ἐμιμέετο Μελάμποδα, ὡς εἰκάσαι βασιληίην τε καὶ πολιτηίην αἰτεομένους. καὶ γὰρ δὴ καὶ Μελάμπους τῶν ἐν Ἄργεϊ γυναικῶν μανεισέων, ὡς μιν οἱ

τὸ Ἀθηναίων κράτος τῆς θαλάσσης ἀφελέσθαι. Hier lag das intensivere ἔδραμε nahe genug, da man eben sagte δραμεῖν ἀγῶνα (zu VII 57 6).

14. φέρον: zu VII 6 23. — τὸ Τισαμενοῦ μαντήιον, wie V 43 2.

16. βασιλεῦσι, denen sonst die für alle öffentlichen Unternehmungen entscheidenden Opfer allein zustanden (Xen. de rep. Lac. 13). Im Grunde ward also durch die Berufung des fremden Sehers die königliche Macht beschränkt.

17. αὐτόν: zu VIII 87 22.

19. τῶν πάντων, an allen Rechten und Vorzügen der spartiatischen Vollbürger.

21. δεινὰ ἐποιεῦντο: zu I 127 2.

22. χρησμοσύνη, konkret 'das Verlangte, die Forderung'. So I 157 8 κελευσμοσύνη, VII 141 20 ἱπποσύνη.

23. στρατεύματος: zu III 48 1.

24. τετραμμένους 'anderen Sinnes geworden'; zu VII 15 8.

25 f. οὕτω würde dem Gedanken genügt haben, 'so erklärte er auch so (da man ihm seine Forderung bewilligt) sich noch nicht befriedigt'. Doch tritt Deutlichkeit halber noch das erklärende ἐπὶ τούτοισι μούνοισι hinzu. Vgl. zu VII 119 1. — ἑωυτοῦ: über die Stellung zu V 5 8.

34. 2. ἐμιμέετο: ähnliche Parallele V 67 1. Hier liegt der Anlafs darin, dafs auch Melampus ein berühmter Seher war. — ὡς εἰκάσαι, *si comparare licet.* IV 99 ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβαλεῖν. Thuk. IV 36 ὡς μικρὸν μεγάλοις εἰκάσαι.

4. Die drei Töchter des tirynthischen Königs Proëtos hatten sich durch sündhaften Frevelmuth den Zorn des Dionysos, dessen Weihen

Ἀργεῖοι ἐμισθοῦντο ἐκ Πύλου παῦσαι τὰς σφετέρας γυναῖκας τῆς νούσου, μισθὸν προετείνετο τῆς βασιληίης τὸ ἥμισυ. οὐκ ἀνασχομένων δὲ τῶν Ἀργείων ἀλλ' ἀπιόντων, ὡς ἐμαίνοντο πολλῷ πλεῦνες τῶν γυναικῶν, οὕτω δὴ ὑποστάντες τὰ ὁ Μελάμπους προετείνετο ἤισαν δώσοντές οἱ ταῦτα. ὁ δὲ ἐνθαῦτα δὴ ἐπορέγεται ὁρέων αὐτοὺς τετραμμένους, φάς, ἢν μὴ καὶ τῷ ἀδελφεῷ Βίαντι μεταδῶσι τὸ τριτημόριον τῆς βασιληίης, οὐ ποιήσειν τὰ βούλονται. οἱ δὲ Ἀργεῖοι ἀπειληθέντες ἐς στεινὸν καταινέουσι καὶ ταῦτα. ὡς δὲ καὶ Σπαρτιῆται, ἐδέοντο γὰρ δεινῶς τοῦ Τισαμενοῦ, πάντως συνεχώρεόν οἱ. συγχωρησάντων δὲ καὶ ταῦτα τῶν Σπαρτιητέων, οὕτω δὴ πέντε σφι μαντευόμενος ἀγῶνας τοὺς μεγίστους Τισαμενὸς ὁ Ἠλεῖος, γενόμενος Σπαρτιήτης, συγκαταιρέει. μοῦνοι δὲ δὴ πάντων ἀνθρώπων ἐγένοντο οὗτοι Σπαρτιήτησι πολιῆται. οἱ δὲ πέντε ἀγῶνες οἵδε ἐγένοντο, εἷς μὲν καὶ πρῶτος οὗτος ὁ ἐν Πλαταιῇσι,

sie verschmähten, oder der argeiischen Hera, deren Bild und Heiligthümer sie verspotteten, und als Strafe Krankheit und Raserei zugezogen, mit der sie auch die anderen Weiber des Landes ansteckten. Melampus, in Pylos heimisch, der sich auf dionysische Weihen verstand (II 49), entsühnte und heilte sie. Als Lohn empfing er die eine, sein Bruder Bias die andere Tochter mit den auf sie entfallenden Drittheilen der Herrschaft (Hesiod. Fr. XLIf. Pherekyd. Fr. 24. Apollod. II 2 2). Die homerische Ueberlieferung kennt diesen Anlafs der Umsiedlung nach Argos noch nicht (Od. o 238ff.); er scheint der speziell argeiischen Sage anzugehören.

6. *προετείνετο* sonst 'bot an' (zu VII 6 11), hier 'forderte'. Die Vermittlung dieser scheinbar entgegengesetzten Bedeutungen liegt in der ursprünglichen 'vorbringen, vorschlagen' (VII 161 1), *proponere*, was sowohl von der Forderung als vom Angebot des Preises aussagbar ist. Ebenso 10 *ἐπορέγεται* 'fordert noch mehr'.

7. *ἀνασχομένων*: zu V 89 19.

9. *ὑποστάντες*, *polliciti*, wie III 127 12. 128 2. IX 94 8, immer mit dem Begriffe der gewissenhaften Uebernahme einer Leistung.

12. *τὸ τριτημόριον*: hatte er vorher die Theilung des Reiches unter den Proetiden und sich, also eine Hälfte verlangt, so soll jetzt auch dem Bruder ein gleicher Antheil werden, was eine Theilung in Drittel nöthig macht.

13. *στεινόν*: zu c. 13 14.

35. 2. *πάντως συνεχώρεον*: vgl. VIII 110 *πάντως ἑτοῖμοι ἦσαν*.

4. *μαντευόμενος*: indem er das Amt eines *μάντις* versah.

6. *συγκαταιρέει*: zu VII 50 22. Soph. O. K. 1148 *χὤπως μὲν ἀγὼν ἡρέθη τί δεῖ μάτην Κομπεῖν;* — *μοῦνοι - δή*: zu VIII 124 14.

ἐπὶ δὲ ὁ ἐν Τεγέᾳ πρὸς Τεγεήτας τε καὶ Ἀργείους γε-
10 νόμενος, μετὰ δὲ ὁ ἐν Διπαιεῦσι πρὸς Ἀρκάδας πάν-
τας πλὴν Μαντινέων, ἐπὶ δὲ ὁ Μεσσηνίων ὁ πρὸς Ἰθώ-
μῃ, ὕστατος δὲ ὁ ἐν Τανάγρῃ πρὸς Ἀθηναίους τε καὶ
Ἀργείους γενόμενος· οὗτος δὲ ὕστατος κατεργάσθη τῶν
πέντε ἀγώνων.

36 Οὗτος δὴ τότε τοῖσι Ἕλλησι ὁ Τισαμενός, ἀγόντων
τῶν Σπαρτιητέων, ἐμαντεύετο ἐν τῇ Πλαταιίδι. τοῖσι
μέν νυν Ἕλλησι καλὰ ἐγίνετο τὰ ἱρὰ ἀμυνομένοισι, δια-
37 βᾶσι δὲ τὸν Ἀσωπὸν καὶ μάχης ἄρχουσι οὔ· Μαρδο-
νίῳ δὲ προθυμεομένῳ μάχης ἄρχειν οὐκ ἐπιτήδεα ἐγί-
νετο τὰ ἱρά, ἀμυνομένῳ δὲ καὶ τούτῳ καλά. καὶ γὰρ
οὗτος Ἑλληνικοῖσι ἱροῖσι ἐχρᾶτο, μάντιν ἔχων Ἡγησί-
5 στρατον ἄνδρα Ἠλεῖόν τε καὶ τῶν Τελλιαδέων ἐόντα
λογιμώτατον, τὸν δὴ πρότερον τούτων Σπαρτιῆται λα-
βόντες ἔδησαν ἐπὶ θανάτῳ ὡς πεπονθότες πολλά τε
καὶ ἀνάρσια ὑπ' αὐτοῦ. ὁ δὲ ἐν τούτῳ τῷ κακῷ ἐχό-
μενος, ὥστε τρέχων περὶ τῆς ψυχῆς πρό τε τοῦ θανά-
10 του πεισόμενος πολλά τε καὶ λυγρά, ἔργον ἐργάσατο

9f. Ueber die Zeit, den Anlafs und die Folgen der beiden Schlachten ist nichts überliefert. Von dem Bündnifs der Tegeaten und Argeier eine Notiz bei Strab. 377 *μετὰ δὲ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Ἀργεῖοι μετὰ Κλεωναίων καὶ Τεγεατῶν ἐπελθόντες ἄρδην τὰς Μυκήνας ἀνεῖλον.* — *ἐν Διπαιεῦσι*: Paus. III 11 7 *οἱ δὲ Διπαιεῖς ἐν τῇ Μαιναλίᾳ πόλισμα Ἀρκάδων ἦσαν.* Der eigentliche Stadtname ist *Δίπαια*.

11. *ὁ πρὸς Ἰθώμῃ* ist von Palmerius gebessert; die Bücher *ὁ πρὸς (τῷ) Ἰσθμῷ*. Der dritte messenische Krieg ist verstanden. Dem Einflusse des Tisamenos und dem Rathe des delphischen Orakels verdankten die Messenier freien Abzug (Pans. III 11 8).

12. *ἐν Τανάγρῃ*, im J. 457. Die Lakedaemonier hatten zum Schutz der dorischen Tripolis einen Zug gegen die Phoker gemacht, und fanden heimkehrend die Strafsen durch die Athener gesperrt; erst die Schlacht bei Tanagra, bei der unter Anderen auch tausend Argeier gegen sie fochten, öffnete ihnen den Heimweg (Thuk. I 107).

36. 3. *ἀμυνομένοισι*, für den Fall, dafs sie sich auf Abwehr beschränkten.

37. 4. Vgl. zu VII 113 10.

7. Sonst *ἔδησαν τὴν ἐπὶ θανάτῳ* (zu III 119 10). Xen. Mem. IV 4 3 *ἀγαγεῖν τινα ἐπὶ θανάτῳ*. Hegesistratos scheint in einer Fehde mit den Tegeaten auf Seiten dieser gestanden zu haben; daher er auch zu diesen flieht (23).

9. *τρέχων περὶ τῆς ψυχῆς*: zu VII 57 6. Ohne Bild Il. *χ* 161 *ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.*

μέζον λόγου. ὡς γὰρ δὴ ἐδέδετο ἐν ξύλῳ σιδηροδέτῳ, ἐσενειχθέντος κως σιδηρίου ἐκράτησε, αὐτίκα δὲ ἐμηχανᾶτο ἀνδρηιώτατον ἔργον πάντων τῶν ἡμεῖς ἴδμεν· σταθμησάμενος γὰρ ὅκως ἐξελεύσεταί οἱ τὸ λοιπὸν τοῦ ποδός, ἀπέταμε τὸν ταρσὸν ἑωυτοῦ. ταῦτα δὲ ποιήσας, ὥστε φυλασσόμενος ὑπὸ φυλάκων, διορύξας τὸν τοῖχον ἀπέδρη ἐς Τεγέην, τὰς μὲν νύκτας πορευόμενος, τὰς δὲ ἡμέρας καταδύνων ἐς ὕλην καὶ αὐλιζόμενος, οὕτω ὥστε Λακεδαιμονίων πανδημεὶ διζημένων τρίτῃ εὐφρόνῃ γενέσθαι ἐν Τεγέῃ, τοὺς δὲ ἐν θώυματι μεγάλῳ ἐνέχεσθαι τῆς τε τόλμης, ὁρέοντας τὸ ἡμίτομον τοῦ ποδὸς κείμενον, κἀκεῖνον οὐ δυναμένους εὑρεῖν. τότε μὲν οὕτω διαφυγὼν Λακεδαιμονίους καταφεύγει ἐς Τεγέην ἐοῦσαν οὐκ ἀρθμίην Λακεδαιμονίοισι τοῦτον τὸν χρόνον· ὑγιὴς δὲ γενόμενος καὶ προσποιησάμενος ξύλινον πόδα κατεστήκεε ἐκ τῆς ἰθέης Λακεδαιμονίοισι πολέμιος. οὐ μέντοι ἔς γε τέλος οἱ συνήνεικε τὸ ἔχθος τὸ ἐς Λακεδαιμονίους συγκεκυρημένον· ἤλω γὰρ μαντευόμενος ἐν Ζακύνθῳ ὑπ᾽ αὐτῶν καὶ ἀπέθανε.

Ὁ μέν νυν θάνατος ὁ Ἡγησιστράτου ὕστερον ἐγένετο τῶν Πλαταιικῶν, τότε δ᾽ ἐπὶ τῷ Ἀσωπῷ Μαρδονίῳ μεμισθωμένος οὐκ ὀλίγου ἐθύετό τε καὶ προεθυμέετο κατά τε τὸ ἔχθος τὸ Λακεδαιμονίων καὶ κατὰ τὸ κέρδος. ὡς δὲ οὐκ ἐκαλλίρεε ὥστε μάχεσθαι οὔτε αὐτοῖσι Πέρσῃσι οὔτε τοῖσι μετ᾽ ἐκείνων ἐοῦσι Ἑλλή-

11. *μέζον λόγου*: zu II 35 3. — *ξύλῳ*: zu VI 75 8.

12. *ἐσενειχθέντος*, sc. *ἐς τὸ δεσμωτήριον*.

14. *ἐξελεύσεται*, aus dem Blocke.

15. *ἑωυτοῦ*, ohne Artikel wie V 5 8.

16. *ὥστε - φυλάκων*: die Ausgänge waren besetzt, weshalb er eben durch die Wand ausbrach.

21. *ἐνέχεσθαι*: vgl. VII 128 15.

24. *ἀρθμίην*: zu VII 101 12.

26. *ἐκ τῆς ἰθέης*: zu II 161 17. Er hat seine Dienste allen Feinden Spartas an.

27. *συνήνεικε*: zu VIII 87 10.

28. *συγκεκυρημένον* ist, wenn man nicht mit Eltz *συγκεκρημένον* (*conflatum*, vgl. zu VII 145 7) lesen will, nach Art von *οἰκημένος* (zu I 27 22) in aktivem Sinne = *συντετυχηκός* zu nehmen.

Ueberfall am Kithaeron. Persischer Kriegsrath; Beschluſs zu schlagen. Orakel (c. 38—43).

38. 5. *ἐκαλλίρεε*: zu VII 113 10.

νων (εἶχον γὰρ καὶ οὗτοι ἐπ' ἐωυτῶν μάντιν Ἱππόμαχον Λευκάδιον ἄνδρα), ἐπιρρεόντων δὲ τῶν Ἑλλήνων καὶ γινομένων πλεύνων, Τιμηγενίδης ὁ Ἕρπυος ἀνὴρ Θηβαῖος συνεβούλευσε Μαρδονίῳ τὰς ἐκβολὰς τοῦ Κιθαιρῶνος φυλάξαι, λέγων ὡς ἐπιρρέουσι οἱ Ἕλληνες αἰεὶ ἀνὰ πᾶσαν ἡμέρην καὶ ὡς ἀπολάμψοιτο συχνούς. **39** *ἡμέραι δέ σφι ἀντικατημένοισι ἤδη ἐγεγόνεσαν ὀκτώ, ὅτε ταῦτα ἐκεῖνος συνεβούλευε Μαρδονίῳ. ὁ δὲ μαθὼν τὴν παραίνεσιν εὖ ἔχουσαν, ὡς εὐφρόνη ἐγένετο, πέμπει τὴν ἵππον ἐς τὰς ἐκβολὰς τὰς Κιθαιρωνίδας αἳ ἐπὶ Πλαταιέων φέρουσι, τὰς Βοιωτοὶ μὲν Τρεῖς κεφαλὰς καλέουσι, Ἀθηναῖοι δὲ Δρυὸς κεφαλάς. πεμφθέντες δὲ οἱ ἱππόται οὐ μάτην ἀπίκοντο· ἐσβάλλοντα γὰρ ἐς τὸ πεδίον λαμβάνουσι ὑποζύγιά τε πεντακόσια, σιτία ἄγοντα ἀπὸ Πελοποννήσου ἐς τὸ στρατόπεδον, καὶ ἀνθρώπους οἳ εἵποντο τοῖσι ζεύγεσι. ἑλόντες δὲ ταύτην τὴν ἄγρην οἱ Πέρσαι ἀφειδέως ἐφόνευον, οὐ φειδόμενοι οὔτε ὑποζυγίου οὐδενὸς οὔτε ἀνθρώπου. ὡς δὲ*

7. *ἐπ' ἐωυτῶν εἶχον μάντις, suum sibi haruspicem habebant.*

9. *Τιμηγενίδης*: zu IX 86 4.

10. *ἐκβολάς*, hier vom Iokalen Standpunkte aus für den, welcher die Strafse vom Kithaeron hinabsteigt. Sonst sagt auch H. *ἐσβολή* od. *-αί* für 'Pafs'.

12. *αἰεὶ ἀνὰ πᾶσαν ἡμέραν*: vgl. I 67 *συνεχέως αἰεί*.

39. 4 ff. Der rechte Flügel der Hellenen erreichte und deckte mit seinen äufserstea Vorposten noch den Pafs und hielt die Verbindung mit Attika und Megaris offen. Den Persern kam es daher nur auf einen raschen Ueberfall an, um die Hellenen wegen ihres Zuzuges in Besorgnifs zu bringen und sie entweder zur Schlacht oder zum Rückzuge zu nöthigen. Eine dauernde Besetzung war zunächst nicht beabsichtigt. — 'Von Elentherae steigt man anfangs in enger Schlucht den Kithaeron hinauf, dessen höchste Spitze, der heutige Elatia, von etwa 4700 F. links liegen bleibt, während rechts sich der Rücken des heutigen Petro-Geraki etwas weniger hoch erhebt. Den Pafs nannten die Athener die Eichenköpfe von den bewaldeten Kuppen darüber, die Boeotier die drei Köpfe; denn von der boeotischen Seite unterscheidet man von weither sehr deutlich drei solche Kuppen'. Vischer Erinner. aus Griech. 533. Doch führte auch noch ein anderer mehr westlicher und wenig benutzter Weg von Megara über den Kithaeron (Xen. Hell. V 4 14).

8. *πεδίον*: 'Von Eleutherae steigt der Weg in der Schlucht allmählig hinan, bis auf einen ziemlich grofsen freien Platz, von wo der gerade Weg wieder in einer engeren Schlucht sich in das Asoposthal hinabsenkt'. Rofs Königsr. I 16.

ἄδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυνον περιβαλλόμενοι παρά τε Μαρδόνιον καὶ ἐς τὸ στρατόπεδον.

Μετὰ δὲ τοῦτο τὸ ἔργον ἑτέρας δύο ἡμέρας διέτριψαν, οὐδέτεροι βουλόμενοι μάχης ἄρξαι· μέχρι μὲν γὰρ τοῦ Ἀσωποῦ ἐπήισαν οἱ βάρβαροι πειρεόμενοι τῶν Ἑλλήνων, διέβαινον δὲ οὐδέτεροι. ἡ μέντοι ἵππος ἡ Μαρδονίου αἰεὶ προσεκέετό τε καὶ ἐλύπεε τοὺς Ἕλληνας· οἱ γὰρ Θηβαῖοι, ἅτε μηδίζοντες μεγάλως, προθύμως ἔφερον τὸν πόλεμον καὶ αἰεὶ κατηγέοντο μέχρι μάχης, τὸ δὲ ἀπὸ τούτου παραδεκόμενοι Πέρσαι τε καὶ Μῆδοι μάλα ἔσκον οἳ ἀπεδείκνυντο ἀρετάς.

Μέχρι μέν νυν τῶν δέκα ἡμερέων οὐδὲν ἐπὶ πλεῦν ἐγίνετο τούτων· ὡς δὲ ἑνδεκάτη ἐγεγόνεε ἡμέρη ἀντικατημένοισι ἐν Πλαταιῇσι, οἵ τε δὴ Ἕλληνες πολλῷ πλεῦνες ἐγεγόνεσαν καὶ Μαρδόνιος περιημέκτεε τῇ ἕδρῃ, ἐνθαῦτα ἐς λόγους ἦλθον Μαρδονίός τε ὁ Γωβρύεω καὶ Ἀρτάβαζος ὁ Φαρνάκεος, ὃς ἐν ὀλίγοισι Περσέων ἦν ἀνὴρ δόκιμος παρὰ Ξέρξῃ. βουλευομένων δὲ αἵδε ἦσαν αἱ γνῶμαι, ἡ μὲν Ἀρταβάζου ὡς χρεὼν εἴη ἀναζεύξαντας τὴν ταχίστην πάντα τὸν στρατὸν ἰέναι ἐς τὸ

14. *περιβαλλόμενοι* 'umzugelnd'. Xen. Kyr. III 3 23 *τοῖς ἵπποις καταδρομὴν ποιησάμενοι περιεβάλλοντο πολλὴν καὶ παντοίαν λείαν.* Vgl. *περιτάμνεσθαι* IV 159 12. Od. *ι* 464 *καρπαλίμως δὲ τὰ μῆλα ταναύποδα πίονα δημῷ Πολλὰ περιτροπέοντες ἐλαύνομεν.*

40. 6. *γάρ*, Grund weshalb die Reiterei ohne Unterlafs angriff.

7. *ἔφερον*: zu c. 18 16. — *κατηγέοντο, τῇ ἵππῳ.* Nicht ohne Ironie. Kühn traten sie den Feinden entgegen; waren diese aber nahe genug heran, so zogen sie die pers. Reiterei vor und überliefsen dieser den eigentlichen Kampf. Sie dienten eben nur die Hellenen heranzulocken, woraus dann die bisda verdeckte Kavallerie hervorbrach.

9. *μάλα ἔσκον* 'waren es hinwiederum'. Zu I 134 16.

41. *τῶν δέκα*, näml. der acht aus c. 39 1 und der zwei aus c. 40 1. — *οὐδὲν-τούτων*: dieselbe Redeweise VI 42 1.

4. *ἕδρη=ἡσυχίη, ἀεργίη, desidia.* Bakchyl. Fr. 23 *οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς.* Thuk. V 105 *τῶν γὰρ στρατιωτῶν ἀχθομένων τῇ ἕδρᾳ.* Vgl. *κατῆσθαι* c. 56 3. 72 6 u. zu I 46 1.

6. *Ἀρτάβαζος*: zu VIII 126 1. — *ἐν ὀλίγοισι*, wie IV 52 10.

8. *ἀναζεύξαντας*: zu VIII 60α 3.

9 f. *ἐς τὸ τεῖχος τὸ Θηβαίων*: nicht die ganze Heeresmasse sollte

τεῖχος τὸ Θηβαίων, ἔνθα σῖτόν τέ σφι ἐσενηνεῖχθαι πολλὸν καὶ χόρτον τοῖσι ὑποζυγίοισι, κατ' ἡσυχίην τε ἰζομένους διαπρήσσεσθαι ποιεῦντας τάδε· ἔχειν γὰρ χρυσὸν πολλὸν μὲν ἐπίσημον πολλὸν δὲ καὶ ἄσημον, πολλὸν δὲ καὶ ἄργυρόν τε καὶ ἐκπώματα· τούτων φειδομένους μηδενὸς διαπέμπειν ἐς τοὺς Ἕλληνας, Ἑλλήνων δὲ μάλιστα ἐς τοὺς προεστεῶτας ἐν τῇσι πόλισι, καὶ ταχέως σφέας παραδώσειν τὴν ἐλευθερίην· μηδὲ ἀνακινδυνεύειν συμβάλλοντας. τούτου μὲν ἡ αὐτὴ ἐγίνετο καὶ Θηβαίων γνώμη, ὡς προειδότος πλεῦν τι καὶ τούτου, Μαρδονίου δὲ ἰσχυροτέρη τε καὶ ἀγνωμονεστέρη καὶ οὐδαμῶς συγγινωσκομένη· δοκέειν τε γὰρ πολλῷ κρέσσονα εἶναι τὴν σφετέρην στρατιὴν τῆς Ἑλληνικῆς, συμβάλλειν τε τὴν ταχίστην μηδὲ περιορᾶν συλλεγομένους ἔτι πλεῦνας τῶν συλλελεγμένων, τά τε σφάγια τὰ Ἡγησιστράτου ἐᾶν χαίρειν μηδὲ βιάζεσθαι, ἀλλὰ νόμῳ τῷ Περσέων χρεομένους συμβάλλειν. τούτου

sich hinter die Mauern Thebens zurückziehen, sondern Art. räth die bisherige Doppelstellung diesseits und jenseits des Asopus, mit der zwiefachen Front gegen Westen und Süden und dem festen Lager auf der Südseite, aufzugeben und sich weiter nordwärts in die Ebene zurückzuziehen, wo das feste Theben einen Stützpunkt hat.

12. *διαπρήσσεσθαι*, *rem conficere*. — *τάδε* erhält seine Deutung erst 14 in *τούτων φειδομένους* .. Ueber *γάρ* zu III 31 4.

15 f. Dergleichen war schon vorher versucht worden. Demosth. Phil. III 42 erwähnt ein athen. Psephisma: *Ἄρθμιος Πυθώνακτος Ζελείτης ἄτιμος ἔστω καὶ πολέμιος τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος· εἰθ' ἡ αἰτία γράφεται, δι' ἣν τοῦτ' ἐγένετο· ὅτι τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν.* Selbst im Heere bei Plataeae bildete sich ein Komplott athen. Oligarchen zum Verrath an den Landesfeind (Plut. Arist. 13).

17. *σφέας*, *τοὺς Ἕλληνας*. — *παραδώσειν τὴν ἐλευθερίην*: vgl. VII 147 8. — *μηδὲ* schliefst an das Hauptverb *διαπέμπειν* an. Aehnlich V 39 15.

19. *καὶ Θηβαίων*: s. c. 2. — *προειδότος πλεῦν τι* 'weit besser unterrichtet', über die wirkliche Lage der Dinge.

20 f. *ἰσχυροτέρη*, *vehementior*, *ferocior*. — *οὐ συγγινωσκομένη* 'nicht einräumend', sc. *ἔσσων εἶναι*, also 'eigensinnig beharrend'. — *δοκέειν*, abh. von *ἐγίνετο γνώμη*, was an Werth = *ἐγίνωσκε*. Ebenso nachher *συμβάλλειν*, *confligendum esse*.

25. *βιάζεσθαι*, sc. *τὰ σφάγια ὥστε γίνεσθαι*, 'erzwingen', durch unablässiges Versuchen. *superos votis fatigare* erklärt Dobree. Deutlicher wäre *ἐκβιάζεσθαι*.

δὲ οὕτω δικαιεῦντος ἀντέλεγε οὐδείς, ὥστε ἐκράτεε τῇ γνώμῃ· τὸ γὰρ κράτος εἶχε τῆς στρατιῆς οὗτος ἐκ βασιλέος, ἀλλ᾽ οὐκ Ἀρτάβαζος. μεταπεμψάμενος ὧν τοὺς ταξιάρχους τῶν τελέων καὶ τῶν μετ᾽ ἑωυτοῦ ἐόντων Ἑλλήνων τοὺς στρατηγοὺς εἰρώτα εἴ τι εἰδεῖεν λόγιον περὶ Περσέων ὡς διαφθερέονται ἐν τῇ Ἑλλάδι. σιγεόντων δὲ τῶν ἐπικλήτων, τῶν μὲν οὐκ εἰδότων τοὺς χρησμούς, τῶν δὲ εἰδότων μὲν ἐν ἀδείῃ δὲ οὐ ποιευμένων τὸ λέγειν, αὐτὸς Μαρδόνιος ἔλεγε „ἐπεὶ τοίνυν ὑμεῖς ἢ ἴστε οὐδὲν ἢ οὐ τολμᾶτε λέγειν, ἀλλ᾽ ἐγὼ ἐρέω ὡς εὖ ἐπιστάμενος. ἔστι λόγιον ὡς χρεών ἐστι Πέρσας ἀπικομένους ἐς τὴν Ἑλλάδα διαρπάσαι τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, μετὰ δὲ τὴν διαρπαγὴν ἀπολέσθαι πάντας. ἡμεῖς τοίνυν αὐτὸ τοῦτο ἐπιστάμενοι οὔτε ἴμεν ἐπὶ τὸ ἱρὸν τοῦτο οὔτε ἐπιχειρήσομεν διαρπάζειν, ταύτης τε εἵνεκεν τῆς αἰτίης οὐκ ἀπολεόμεθα. ὥστε ὑμέων ὅσοι τυγχάνουσι εὔνοοι ἐόντες Πέρσῃσι, ἤδεσθε τοῦδε εἵνεκεν ὡς περιεσομένους ἡμέας Ἑλλήνων.“ ταῦτά σφι εἶπας δεύτερα ἐσήμηνε παραρτέεσθαί τε πάντα καὶ εὐκρινέα ποιέεσθαι ὡς ἅμα ἡμέρῃ τῇ ἐπιούσῃ συμβολῆς ἐσομένης.

Τοῦτον δ᾽ ἔγωγε τὸν χρησμόν, τὸν Μαρδόνιος **43** εἶπε ἐς Πέρσας ἔχειν, ἐς Ἰλλυριούς τε καὶ τὸν Ἐγχε-

42. *δικαιοῦν*, wie oft bei H., = *ἀξιοῦν* (*censere*), welches Verb er fast nie in diesem Sinne braucht.

5. *τελέων*=*ταξίων* (VII 81 6).

8. *τῶν ἐπικλήτων*: zu VII 8 3.

9. *ἐν ἀδείῃ ποιέεσθαι* ‘für unbedenklich, gefahrlos halten’. Zu I 118 8.

11. *ἀλλ᾽ ἐγὼ ἐρέω* ‘nun so werde ich es sagen’. Seine Kenntnifs stammte wohl aus des Onomakritos Mittheilungen (VII 6). Wobei immer auffällt dafs die Vorsicht gegen das delphische Orakel nicht schon Jahrs zuvor (VIII 35) geübt worden.

18 f. *ὡς περιεσομένους ἡμέας*, ein s. g. absoluter Akkusativ, der sich durch ein bei *ἤδεσθε* vorschwebendes *ἐλπίζοντες* erklärt, ‘freut euch der Hoffnung’.

20. *εὐκρινέα*, *expedita*.

43. Durch *ἔγωγε*-*οἶδα* stellt der Vf. seine persönliche auf eigene Prüfung gestützte Meinung hin. Vgl. zu I 20 2. — *ἔχειν*: zu VII 143 6. — *τε καί* ordnet Genus und Species zusammen. Vgl. V 92$^{\beta}$ 8. Von den Encheleern zu V 61 6. Das Orakel weissagte einen dereinstigen Einfall dieser Stämme in Hellas und besonders in Delphi. Eur. Bakch. 1330 Dionys zu Kadmos: *δράκων γενήσει μεταβαλών, δάμαρ τε σὴ ἐκθηριωθεῖσ᾽ ὄφεος ἀλλάξει τύπον,*

λέων στρατὸν οἶδα πεποιημένον, ἀλλ' οὐκ ἐς Πέρσας. ἀλλὰ τὰ μὲν Βάκιδί ἐστι ἐς ταύτην τὴν μάχην πεποιημένα,

τὴν δ' ἐπὶ Θερμώδοντι καὶ Ἀσωπῷ λεχεποίῃ
Ἑλλήνων σύνοδον καὶ βαρβαρόφωνον ἰυγήν,
τῇ πολλοὶ πεσέονται ὑπὲρ λάχεσίν τε μόρον τε
τοξοφόρων Μήδων, ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ, —

ταῦτα μὲν καὶ παραπλήσια τούτοισι ἄλλα Μουσαίῳ ἔχοντα οἶδα ἐς Πέρσας. ὁ δὲ Θερμώδων ποταμὸς ῥέει μεταξὺ Τανάγρης τε καὶ Γλίσαντος.

44 Μετὰ δὲ τὴν ἐπειρώτησιν τῶν χρησμῶν καὶ παραίνεσιν τὴν ἐκ Μαρδονίου νύξ τε ἐγένετο καὶ ἐς φυλακὰς ἐτάσσοντο. ὡς δὲ πρόσω τῆς νυκτὸς προελήλατο καὶ ἡσυχίη ἐδόκεε εἶναι ἀνὰ τὰ στρατόπεδα καὶ μάλιστα οἱ

Πὶν Ἄρεος ἔσχες Ἁρμονίαν θνητὸς γεγώς. ὄχον δὲ μόσχων, χρησμὸς ὡς λέγει Διός, Ἑλᾶς μετ' ἀλόχου, βαρβάρων ἡγούμενος. πολλὰς δὲ πέρσεις ἀναρίθμῳ στρατεύματι Πόλεις· ὅταν δὲ Λοξίου χρηστήριον Ἁρπάσωσι, νόστον ἄθλιον πάλιν Σχήσουσι . . σὲ δ' Ἄρης Ἁρμονίαν τε ῥύσεται Μακάρων τ' ἐς αἶαν σὸν καθιδρύσει βίον. Im Grunde also ein Versuch der Rückkehr der einst verdrängten Kadmeier (V 61 6). Der Vf. meint aber dafs dieser Spruch sich erst noch erfüllen müsse.

3. *στρατόν* 'Heereszug'. Vgl. zu III 48 1.

4. *ἀλλὰ-μέν*: zu II 29 2. — Wenn *ἐστι* als echt angenommen wird, so geht für *Μουσαίῳ* (10), das dann im Nachsatze steht, der ihm nothwendige Bezug auf *πεποιημένα* verloren. — *Βάκιδι*: zu VIII 20 2.

6. Die Verse sind ohne Rücksicht auf ihren sachlichen und grammatischen Zusammenhang ausgehoben, so dafs nicht einmal das Verb zu *τὴν-σύνοδον* zu errathen ist. — *λεχεποίῃ*: Il. δ 383 *Ἀσωπὸν δ' ἔχοντο βαθύσχοινον λεχεποίην.*

10. *Μουσαίῳ*: zu VII 6 12.

12. *Γλίσας*, auch *Γλίσσας* u. *Γλισᾶς*, ein schon von Homer (Il. β 504) erwähnter Ort, nordöstlich von Theben am Südfufse des Hypnon-geb., am s. g. aonischen Felde (Strab. 412. Paus. IX 19 3). Der Kampf der Epigonen mit den Thebanern soll hier stattgefunden haben, was den Orakeldichter veranlafst haben mag das Lokal der Schlacht gerade hier anzusetzen. Der Thermodon ist ein vom Hypnon kommender Bergstrom (Paus. a. O.)

Des Alexandros Warnung. Versuchter Stellungswechsel. Ausforderung des Mardonios. Weiterer Rückgang der Hellenen (c. 44—51).

44. *ἐπειρώτησιν τῶν χρησμῶν* 'Nachfrage nach den Sehersprüchen' (c. 42 6); nach *εἰρωτᾶν τι* 'nach etwas fragen'.

3. *προελήλατο*, impersonal, *multum noctis processerat, nocte multum provecta.* Dafür II 121 δ *ὡς δὲ πρόσω ἦν τῆς νυκτός.*

ἄνθρωποι εἶναι ἐν ὕπνῳ, τηνικαῦτα προσελάσας ἵππῳ πρὸς τὰς φυλακὰς τὰς Ἀθηναίων Ἀλέξανδρος ὁ Ἀμύντεω, στρατηγός τε ἐὼν καὶ βασιλεὺς Μακεδόνων, ἐδίζητο τοῖσι στρατηγοῖσι ἐς λόγους ἐλθεῖν. τῶν δὲ φυλάκων οἱ μὲν πλεῦνες παρέμενον, οἱ δ' ἔθεον ἐπὶ τοὺς στρατηγούς, ἐλθόντες δὲ ἔλεγον ὡς ἄνθρωπος ἥκοι ἐπ' ἵππου ἐκ τοῦ στρατοπέδου τοῦ Μήδων, ὃς ἄλλο μὲν οὐδὲν παραγυμνοῖ ἔπος, στρατηγοὺς δὲ οὐνομάζων ἐθέλειν φησὶ ἐς λόγους ἐλθεῖν. οἱ δὲ ἐπεὶ ταῦτα ἤκουσαν, αὐτίκα εἵποντο ἐς τὰς φυλακάς. ἀπικομένοισι δὲ ἔλεγε Ἀλέξανδρος τάδε. „ἄνδρες Ἀθηναῖοι, παραθήκην ὑμῖν τὰ ἔπεα τάδε τίθεμαι, ἀπόρρητα ποιεύμενος πρὸς μηδένα λέγειν ὑμέας ἄλλον ἢ Παυσανίην, μή με καὶ διαφθείρητε· οὐ γὰρ ἂν ἔλεγον, εἰ μὴ μεγάλως ἐκηδόμην συναπάσης τῆς Ἑλλάδος· αὐτός τε γὰρ Ἕλλην γένος εἰμὶ τωὐρχαῖον, καὶ ἀντ' ἐλευθέρης δεδουλωμένην οὐκ ἂν ἐθέλοιμι ὁρᾶν τὴν Ἑλλάδα. λέγω δὲ ὧν ὅτι Μαρδονίῳ τε καὶ τῇ στρατιῇ τὰ σφάγια οὐ δύναται καταθύμια γενέσθαι· πάλαι γὰρ ἂν ἐμάχεσθε. νῦν δέ οἱ δέδοκται τὰ μὲν σφάγια ἐᾶν χαίρειν, ἅμ' ἡμέρῃ δὲ διαφωσκούσῃ συμβολὴν ποιέεσθαι· καταρρώδηκε γὰρ μὴ πλεῦνες συλλεχθῆτε, ὡς ἐγὼ εἰκάζω. πρὸς ταῦτα ἑτοιμάζεσθε. ἢν δὲ ἅρα ὑπερβάληται τὴν συμβολὴν Μαρδόνιος καὶ μὴ ποιέηται, λιπαρέετε μένοντες· ὀλιγέων γάρ σφι ἡμερέων λείπεται σιτία. ἢν δὲ ὑμῖν ὁ πόλεμος ὅδε κατὰ

6. Die Makedonen standen den Athenern auf dem linken Flügel gegenüber (c. 31 29).

8. *τοῖσι στρατηγοῖσι*: wahrscheinlich waren alle zehn für das Jahr erwählten im Lager. Vgl. VI 103 3. Darunter werden aufser Aristeides genannt Leokrates und Myronides (Plut. Arist. 20).

45. 4. *ἀπόρρητα* (sc. *τὰ ἔπεα τάδε*) *ποιεύμενος* ist eine Paraphrase für ein nicht vorhandenes Verbum factitivum, 'ungesagt machen, weiter mitzutheilen untersagen'. Ebenso c. 94 2. Ar. Eq. 647 *κἀγὼ φράσα Αὐτοῖς, ἀπόρρητον ποιησάμενος, ταχὺ Ἵνα-ὠνοῖντο*. An das darin enthaltene Verbot schliefst sich weiter epexegetisch und mit besonderem Nachdruck *πρὸς μηδένα λέγειν*.

8. *τωὐρχαῖον*: s. VIII 137.

10. *καταθύμια*: zu V 39 6.

11. *γάρ*, wie VI 50 9.

17. *λείπεται σιτία*, in den am Asopos angelegten Magazinen. S.

νόον τελευτήσῃ, μνησθῆναί τινα χρὴ καὶ ἐμεῦ ἐλευθερώσιος πέρι, ὃς Ἑλλήνων εἵνεκεν οὕτω ἔργον παράβολον ἔργασμαι ὑπὸ προθυμίης, ἐθέλων ὑμῖν δηλῶσαι τὴν διανοίην τὴν Μαρδονίου, ἵνα μὴ ἐπιπέσωσι ὑμῖν ἐξαίφνης οἱ βάρβαροι μὴ προσδεκομένοισί κω. εἰμὶ δὲ Ἀλέξανδρος ὁ Μακεδών.“ ὁ μὲν ταῦτα εἴπας ἀπήλαυνε ὀπίσω ἐς τὸ στρατόπεδον καὶ τὴν ἑωυτοῦ τάξιν.

46 Οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων ἐλθόντες ἐπὶ τὸ δεξιὸν κέρας ἔλεγον Παυσανίῃ τά περ ἤκουσαν Ἀλεξάνδρου. ὁ δὲ τούτῳ τῷ λόγῳ καταρρωδήσας τοὺς Πέρσας ἔλεγε τάδε. „ἐπεὶ τοίνυν ἐς ἠῶ ἡ συμβολὴ γίνεται, ὑμέας μὲν χρεών ἐστι τοὺς Ἀθηναίους στῆναι κατὰ τοὺς Πέρσας, ἡμέας δὲ κατὰ τοὺς Βοιωτούς τε καὶ τοὺς κατ᾽ ὑμέας τεταγμένους Ἑλλήνων, τῶνδε εἵνεκεν. ὑμεῖς ἐπίστασθε τοὺς Μήδους καὶ τὴν μάχην αὐτῶν ἐν Μαραθῶνι μαχεσάμενοι, ἡμεῖς δὲ ἄπειροί τέ εἰμεν καὶ ἀδαέες τούτων τῶν ἀνδρῶν· Σπαρτιητέων γὰρ οὐδεὶς πεπείρηται Μήδων· ἡμεῖς δὲ Βοιωτῶν καὶ Θεσσαλῶν ἔμπειροί εἰμεν. ἀλλ᾽ ἀναλαβόντας τὰ ὅπλα χρεών ἐστι ἰέναι ὑμέας μὲν ἐς τόδε τὸ κέρας, ἡμέας δὲ ἐς τὸ εὐώνυμον.“ πρὸς δὲ ταῦτα εἶπαν οἱ Ἀθηναῖοι τάδε. „καὶ αὐτοῖσι ἡμῖν πάλαι ἀπ᾽ ἀρχῆς, ἐπείτε εἴδομεν κατ᾽ ὑμέας τασσομένους τοὺς Πέρσας, ἐν νόῳ ἐγένετο εἶπαι ταῦτα τά περ ὑμεῖς φθάντες προφέρετε· ἀλλὰ γὰρ ἀρρωδέομεν μὴ ὑμῖν οὐκ ἡδέες γένωνται οἱ λόγοι. ἐπεὶ δ᾽ ὧν αὐτοὶ ἐμνήσθητε, καὶ ἡδομένοισι ἡμῖν οἱ λόγοι γε-

c. 41 10.

18. *τινά*: zu VI 9 14. — *ἐλευθερώσιος πέρι* ‘in Bezug auf meine Befreiung’, vom pers. Joche. Er beansprucht nach glücklich beendigtem Kriege hellen. Hilfe zur Vertreibung der Perser auch aus seinem Lande. — *οὕτω-παράβολον*: vgl. VII 46 12.

20. *προθυμίης*: zu VII 6 7. Dazu ist *ἐθέλων . .* Erklärung.

46. 4. *ἐς ἠῶ*: vgl. III 155 21.

8. *μάχην*: zu VII 9$^{\alpha}$ 2.

10. *οὐδείς*: Aristodemos, der einzige Ueberlebende von den Dreihundert, war zwar im Heere (c. 71); aber eben dieser hatte am Kampfe bei Thermopylae keinen Antheil genommen (VII 229).

11. *πεπείρηται*: zu I 68 30.

12. *ἀλλ᾽*: vgl. zu VIII 62 5.

17. *ἀλλὰ γάρ*: zu VIII 8 8.

γόνασι καὶ ἑτοῖμοί εἰμεν ποιέειν ταῦτα.“ ὡς δ' ἤρεσκε 47
ἀμφοτέροισι ταῦτα, ἠώς τε διέφαινε καὶ διαλλάσ-
σοντο τὰς τάξις. γνόντες δὲ οἱ Βοιωτοὶ τὸ ποιεύ-
μενον, ἐξαγορεύουσι Μαρδονίῳ. ὁ δ' ἐπείτε ἤκου-
σε, αὐτίκα μετιστάναι καὶ αὐτὸς ἐπειρᾶτο, παράγων
τοὺς Πέρσας κατὰ τοὺς Λακεδαιμονίους. ὡς δὲ ἔμα-
θε τοῦτο τοιοῦτο γινόμενον ὁ Παυσανίης, γνοὺς ὅτι
οὐ λανθάνει, ὀπίσω ἦγε τοὺς Σπαρτιήτας ἐπὶ τὸ δε-
ξιὸν κέρας· ὣς δ' αὖτως καὶ ὁ Μαρδόνιος ἐπὶ τοῖ
εὐωνύμου.

Ἐπεὶ δὲ κατέστησαν ἐς τὰς ἀρχαίας τάξις, πέμψας 48
ὁ Μαρδόνιος κήρυκα ἐς τοὺς Σπαρτιήτας ἔλεγε τάδε.
„ὦ Λακεδαιμόνιοι, ὑμεῖς δὴ λέγεσθε εἶναι ἄνδρες ἄρι-
στοι ὑπὸ τῶν τῇδε ἀνθρώπων, ἐκπαγλεομένων ὡς οὔτε
φεύγετε ἐκ πολέμου οὔτε τάξιν ἐκλείπετε, μένοντές τε
ἢ ἀπόλλυτε τοὺς ἐναντίους ἢ αὐτοὶ ἀπόλλυσθε. τῶν δ'
ἄρ' ἦν οὐδὲν ἀληθές· πρὶν γὰρ ἢ συμμῖξαι ἡμέας ἐς
χειρῶν τε νόμον ἀπικέσθαι, καὶ δὴ φεύγοντας καὶ στα-
σιν ἐκλείποντας ὑμέας εἴδομεν, ἐν Ἀθηναίοισί τε τὴν
πρόπειραν ποιευμένους, αὐτούς τε ἀντία δούλων τῶν
ἡμετέρων τασσομένους. ταῦτα οὐδαμῶς ἀνδρῶν ἀγαθῶν
ἔργα, ἀλλὰ πλεῖστον δὴ ἐν ὑμῖν ἐψεύσθημεν· προσδε-
κόμενοι γὰρ κατὰ κλέος ὡς δὴ πέμψετε ἐς ἡμέας κή-
ρυκα προκαλεύμενοι καὶ βουλόμενοι μούνοισι Πέρσῃσι
μάχεσθαι, ἄρτιοι ἐόντες ποιέειν ταῦτα οὐδὲν τοιοῦτο
λέγοντας ὑμέας εὕρομεν ἀλλὰ πτώσσοντας μᾶλλον. νῦν
ὦν ἐπειδὴ οὐκ ὑμεῖς ἤρξατε τούτου τοῦ λόγου, ἀλλ'

47. 9. ἐπὶ τοῦ εὐωνύμου, sc. ἐποίεε. D. h. er stellte die schon auf diesem Flügel begonnenen Dislokationen wieder ein.

48. 3. δή, höhnend. Vgl. VII 12 8. 17 6.
7. ἄρ': zu III 64 20.
8. χειρῶν νόμον: zu VIII 89 6. — καὶ δή = ἤδη (IV 102 3).
9. ἐν Ἀθηναίοισι: die Athener sind gleichsam das Probestück, an dem sie die Tapferkeit der Feinde versuchen wollen, ehe sie selber sich mit ihnen messen. Xen. Mem. IV 2 5 der angehende Arzt πειράσομαι γὰρ ἐν ὑμῖν ἀποκινδυνεύων μανθάνειν.
17. ἀλλ', wie c. 42 11.

ἡμεῖς ἄρχομεν. τί δὴ οὐ πρὸ μὲν τῶν Ἑλλήνων ὑμεῖς, ἐπείτε δεδόξωσθε εἶναι ἄριστοι, πρὸ δὲ τῶν βαρβάρων ἡμεῖς, ἴσοι πρὸς ἴσους ἀριθμὸν ἐμαχεσάμεθα; καὶ ἦν μὲν δοκέῃ καὶ τοὺς ἄλλους μάχεσθαι, οἱ δ' ὧν μετέπειτεν μαχέσθων ὕστεροι· εἰ δὲ καὶ μὴ δοκέοι ἀλλ' ἡμέας μούνους ἀποχρᾶν, ἡμεῖς δὲ διαμαχεσόμεθα· ὁκότεροι δ' ἂν ἡμέων νικήσωσι, τούτους τῷ ἅπαντι στρατοπέδῳ νικᾶν." ὁ μὲν ταῦτα εἶπας τε καὶ ἐπισχὼν χρόνον, ὡς οἱ οὐδεὶς οὐδὲν ὑπεκρίνετο, ἀπαλλάσσετο ὀπίσω, ἀπελθὼν δὲ ἐσήμαινε Μαρδονίῳ τὰ καταλαβόντα. ὁ δὲ περιχαρὴς γενόμενος καὶ ἐπαερθεὶς ψυχρῇ νίκῃ ἐπῆκε τὴν ἵππον ἐπὶ τοὺς Ἕλληνας. ὡς δὲ ἐπήλασαν οἱ ἱππόται, ἐσίνοντο πᾶσαν τὴν στρατιὴν τὴν Ἑλληνικὴν ἐσακοντίζοντές τε καὶ ἐστοξεύοντες ὥστε ἱπποτοξόται τε ἐόντες καὶ προσφέρεσθαι ἄποροι· τήν τε κρήνην τὴν Γαργαφίην, ἀπ' ἧς ὑδρεύετο πᾶν τὸ στράτευμα τὸ Ἑλληνικόν, συνετάραξαν καὶ συνέχωσαν. ἦσαν μὲν ὦν κατὰ τὴν κρήνην Λακεδαιμόνιοι τεταγμένοι μοῦνοι, τοῖσι δὲ ἄλλοισι Ἕλλησι ἡ μὲν κρήνη πρόσω ἐγίνετο, ὡς ἕκαστοι ἔτυχον τεταγμένοι, ὁ δὲ Ἀσωπὸς ἀγχοῦ· ἐρυκόμενοι δὲ ἀπὸ τοῦ Ἀσωποῦ οὕτω δὴ ἐπὶ τὴν κρήνην ἐφοίτεον· ἀπὸ τοῦ ποταμοῦ γάρ σφι οὐκ ἐξῆν ὕδωρ φορέεσθαι ὑπό τε τῶν ἱππέων καὶ τοξευμάτων. τούτου δὲ τοιούτου γινομένου οἱ τῶν Ἑλλήνων στρατηγοί, ἅτε τοῦ τε ὕδατος στερηθείσης τῆς στρατιῆς καὶ ὑπὸ τῆς

18ff. τί δὴ οὐ - ἐμαχεσάμεθα: diese den Attikern geläufige Frageform (meist mit dem Aorist), an Stelle einer Aufforderung, hat H. nur hier. — ἴσοι πρὸς ἴσους: Soph. Ant. 142 ταχθέντες ἴσοι πρὸς ἴσους. Vgl. μοῦνος μουνόθεν (I 116 13). — ἦν, nachher εἰ. Vgl. VIII 21 8.

21f. δ' ὦν 'immerhin'. Wegen δέ zu II 39 8. — μετέπειτεν - ὕστερον: vgl. III 36 29.

25. Der Infinitiv νικᾶν erklärt sich aus einem schon von ἄρχομεν (τούτου τοῦ λόγου, 18) her vorschwebenden λέγομεν, προτίθεμεν.

49. 3. τὰ καταλαβόντα, sc. ἑωυτόν, 'was ihn betroffen hatte, wie es ihm ergangen war'. III 42 γράφει ἐς βιβλίον πάντα τὰ ποιήσαντά μιν οἷα καταλελαβήκεε, IX 104 3.

4. ψυχρῇ νίκῃ: zu VI 108 10.

8. προσφέρεσθαι ἄποροι: IV 46 ἄποροι προσμίσγειν.

10. Wahrscheinlich τε καί. Zu V 2 6. 4 9.

ἵππου ταρασσομένης, συνελέχθησαν περὶ αὐτῶν τε τούτων καὶ ἄλλων, ἐλθόντες παρὰ Παυσανίην ἐπὶ τὸ δεξιὸν κέρας. ἄλλα γὰρ τούτων τοιούτων ἐόντων μᾶλλόν σφεας ἐλύπεε· οὔτε γὰρ σιτία εἶχον ἔτι, οἵ τέ σφεων ὀπέωνες ἀποπεμφθέντες ἐς Πελοπόννησον ὡς ἐπισιτιεύμενοι ἀποκεκλήιατο ὑπὸ τῆς ἵππου, οὐ δυνάμενοι ἀπικέσθαι ἐς τὸ στρατόπεδον. βουλευομένοισι δὲ 51 τοῖσι στρατηγοῖσι ἔδοξε, ἢν ὑπερβάλωνται ἐκείνην τὴν ἡμέρην οἱ Πέρσαι συμβολὴν μὴ ποιεύμενοι, ἐς τὴν νῆσον ἰέναι· ἡ δέ ἐστι ἀπὸ τοῦ Ἀσωποῦ καὶ τῆς κρήνης τῆς Γαργαφίης, ἐπ' ἧς ἐστρατοπεδεύοντο τότε, δέκα σταδίους ἀπέχουσα, πρὸ τῆς Πλαταιέων πόλιος. νῆσος δὲ οὕτω ἂν εἴη ἐν ἠπείρῳ· σχιζόμενος ὁ ποταμὸς ἄνω-

50. 9. Nach dem letzten verderblichen Ueberfall (c. 39) wagten sich die Transportzüge nicht mehr aus dem Passe hinaus. Persische Reiterei mochte seit der Zeit die Gegend fortwährend durchstreifen.

51. 2. *ὑπερβάλωνται* absol. 'zögern' (III 76 2. VII 206 4).

3 ff. *τὴν νῆσον*: der Landstrich führte den Namen, daher der Artikel. — 'Das Schlachtfeld dehnte sich östlich und nordöstlich von der Stadt in der Ebene und am Abhange des Kithaeron aus, und die Beschaffenheit ist noch jetzt leicht mit den Angaben Herodots und anderer Berichterstatter in Einklang zu bringen, mit einziger Ausnahme dessen, was H. von einer angeblichen Insel der Oëroë berichtet. Eine solche vollständige Insel besteht wenigstens jetzt nicht. Es kommen mehrere Quellbäche östlich von Plataeae vom Gebirge herab, welche anfangs in nördlicher Richtung fliefsen, dann sich im Bogen westlich wenden und zum Flüfschen Oëroë vereinigen. Zwischen zweien dieser Bäche zieht sich ein langer Streifen Landes hin, der zwar keine wahre Insel ist, aber einer solchen doch sehr nahe kommt, da er nur zu oberst nicht umflossen ist, und ich glaube mit Recht hat man angenommen, dafs dieser Zwischenraum die Insel genannt wurde. Er war für eine Stellung der Griechen um so geeigneter, als die tiefe Einfurchung des Baches gegen einen Reiterangriff leidlichen Schutz gewährte. Ob angenommen werden darf, dafs in den Naturverhältnissen, namentlich dem Lauf der Bäche solche Veränderungen stattgefunden haben, dafs früher wirklich eine Insel bestanden hatte, vermag ich nicht zu entscheiden, halte es aber nicht für unmöglich, obwohl sich auch denken läfst, dafs H. durch den Namen 'Insel' verleitet sich über den wahren Verhalt irrte'. Vischer 547 f.

7 f. *οὕτω* st. *ὧδε*; zu I 137 2. — *ἐν ἠπείρῳ*: man erwartet nun eine allgemeine Erklärung, wie es auf dem Festlande Inseln geben könne; und die ersten Worte *σχιζόμενος ὁ ποταμός*, 'indem der Flufs (welcher eine solche Insel bildet) sich spaltet', bestätigen die Erwartung. Aber weiterhin wendet sich die Erklärung

ϑεν ἐκ τοῦ Κιθαιρῶνος ῥέει κάτω ἐς τὸ πεδίον, διέχων ἀπ' ἀλλήλων τὰ ῥέεθρα ὅσον περ τρία στάδια, καὶ ἔπειτεν συμμίσγει ἐς τὠυτό. οὔνομα δέ οἱ Ὠρωπός· θυγατέρα δὲ ταύτην λέγουσι εἶναι Ἀσωποῦ οἱ ἐπιχώριοι. ἐς τοῦτον δὴ τὸν χῶρον ἐβουλεύσαντο μεταναστῆναι, ἵνα καὶ ὕδατι ἔχωσι χρᾶσθαι ἀφθόνῳ καὶ οἱ ἵππέες σφέας μὴ σινοίατο, ὥσπερ κατιθὺ ἐόντων. μετακινέεσθαί τε ἐδόκεε τότε ἐπεὰν τῆς νυκτὸς ᾖ δευτέρη φυλακή, ὡς ἂν μὴ ἰδοίατο οἱ Πέρσαι ἐξορμεομένους καὶ σφεας ἑπόμενοι ταράσσοιεν οἱ ἱππόται. ἀπικομένων δὲ ἐς τὸν χῶρον τοῦτον, τὸν δὴ ἡ Ἀσωπὶς Ὠρωπὸν περισχίζεται ῥέουσα ἐκ τοῦ Κιθαιρῶνος, ὑπὸ τὴν νύκτα ταύτην ἐδόκεε τοὺς ἡμίσεας ἀποστέλλειν τοῦ στρατοπέ-

auf den vorliegenden Fall, ohne dafs noch der inselbildende Flufs genannt ist, was erst nachträglich (10 u. 18) geschieht. Denn an den Asopos will der Vf. so wenig gedacht wissen wie an die Gargaphia. — *σχιζόμενος-ῥέει* setzt voraus dafs sich der Bach oben im Gebirge theilte. Jetzt ist davon nichts mehr nachweisbar.

9. *ὅσον περ* heifst 'ebenso viel wie' (II 170 8. IV 50 9). Das Richtige wäre nach herod. Gebrauche *ὅσον τε* 'ungefähr', od. *ὅσον τ' ἐπί* (wie I 126 3. 174 12 u. s.), od. *ὅσον τ' ἐς*.

10. *συμμίσγει ἐς τὠυτό*: ähnlich VII 129 15. — 'Die Oëroë schleicht so langsam durch den tiefen Marschboden, dafs man kaum unterscheiden kann, in welcher Richtung sie fliefst, wie denn auch kaum eine halbe Stunde davon der Asopus fast parallel in entgegengesetzter Richtung nach Osten läuft und die beiderseitigen Zuflüsse sich an mehreren Stellen fast berühren'. Vischer 550.

14. *ὥσπερ*, sc. *ἐσίνοντο*. — *ἐόντων*, se. *σφέων*, 'da sie gerade gegenüber standen'. Die Bemerkung geht besonders die Athener an, die bislang in der Ebene und am weitesten von der Quelle standen.

15 u. 20. *ἐδόκεε*: oben 2 *ἔδοξε*. Vgl. zu VII 123 5.

16. *ὡς ἂν-ἰδοίατο*: zu V 98 51.

18 f. *τόν*: der Akkusativ wie I 84 13. IV 180 13. VII 214 5. — *ὑπὸ τὴν νύκτα ταύτην* 'im Verlaufe dieser Nacht'.

20 ff. H. nimmt eine doppelte Bewegung an, zurück hinter die Oëroë, und dann seitwärts die Hügel hinauf zur Kithaeron-strafse. Dies wird so zu verstehen sein, dafs der linke am meisten ausgesetzte Flügel mit einem Theile des Centrums sich aus der Flufsebene zurück hinter die vorliegende Hügelkette und die tiefen Bachrinnen zurückziehen, der rechte aber mit der übrigen Mittelstellung (*τοὺς ἡμίσεας*), jenen entsprechend, ebenfalls zurückgehen sollte und zwar nach dem Gebirge zu in südwestl. Richtung, nicht blofs um die Proviantzüge einzubringen, sondern um überhaupt den Pafs dauernd und ausreichend zu decken. Am Austritt dieser Strafse aus dem Kithaeron fand denn auch der Kampf der Lakedaemonier statt (Paus. IX 2 2).

δου πρὸς τὸν Κιθαιρῶνα, ὡς ἀναλάβοιεν τοὺς ὀπέωνας τοὺς ἐπὶ τὰ σιτία οἰχομένους· ἦσαν γὰρ ἐν τῷ Κιθαιρῶνι ἀπολελαμμένοι.

Ταῦτα βουλευσάμενοι ἐκείνην μὲν τὴν ἡμέρην πᾶσαν **52**
προσκειμένης τῆς ἵππου εἶχον πόνον ἄτρυτον· ὡς δὲ ἥ
τε ἡμέρη ἔληγε καὶ οἱ ἱππέες ἐπέπαυντο, νυκτός τε
γενομένης καὶ ἐούσης τῆς ὥρης ἐς τὴν δὴ συνεκέετό
σφι ἀπαλλάσσεσθαι, ἐνθαῦτα ἀερθέντες οἱ πολλοὶ ἀπ- 5
αλλάσσοντο, ἐς μὲν τὸν χῶρον ἐς τὸν συνεκέετο οὐκ
ἐν νόῳ ἔχοντες, οἱ δὲ ὡς ἐκινήθησαν ἔφευγον ἅσμενοι
τὴν ἵππον πρὸς τὴν Πλαταιέων πόλιν, φεύγοντες δὲ
ἀπικνέονται ἐπὶ τὸ Ἡραῖον· τὸ δὲ πρὸ τῆς πόλιός ἐστι
τῆς Πλαταιέων, εἴκοσι σταδίους ἀπὸ τῆς κρήνης τῆς Γαρ- 10
γαφίης ἀπέχον. ἀπικόμενοι δὲ ἔθεντο πρὸ τοῦ ἱροῦ τὰ
ὅπλα. καὶ οἱ μὲν περὶ τὸ Ἡραῖον ἐστρατοπεδεύοντο, Παυ- **53**
σανίης δὲ ὀρέων σφέας ἀπαλλασσομένους ἐκ τοῦ στρατοπέδου παρήγγελλε καὶ τοῖσι Λακεδαιμονίοισι ἀναλαβόντας τὰ ὅπλα ἰέναι κατὰ τοὺς ἄλλους τοὺς προϊόντας,
νομίσας αὐτοὺς ἐς τὸν χῶρον ἰέναι ἐς τὸν συνεθήκαν- 5
το. ἐνθαῦτα οἱ μὲν ἄλλοι ἄρτιοι ἦσαν τῶν ταξιαρχέων
πείθεσθαι Παυσανίῃ. Ἀμομφάρετος δὲ ὁ Πολιάδεω
λοχηγέων τοῦ Πιτανητέων λόχου οὐκ ἔφη τοὺς ξείνους

Aufbruch. Flucht des Centrums. Starrsinn des Amomphnretos (c. 52—57).

52. 2. ἄτρυτον, poetisch. Pind. P. IV 178 πέμπε Ἑρμᾶς - υἱοὺς ἐπ' ἄτρυτον πόνον.

4. ἐς τήν: zu III 155 21.

6. τὸν χῶρον, die Oëroë-insel. Einmal auf dem Marsche gingen sie zehn Stadien darüber hinaus (10). Es waren die Truppen des eigentlichen Centrums, von den Korinthiern bis zu den Megarern (c. 28. 69). Durch diese fluchtähnliche Bewegung ward das Heer in drei verbindungslose Theile zerrissen.

7. οἱ δέ: zu I 17 9.

9. πρὸ τῆς πόλιος, wie es scheint unmittelbar vor der Stadt. Hera führte hier als Ehegöttin den Beinamen τελεία (Paus. IX 2 7).

10. εἴκοσι σταδίους: die 'Insel' war nur zehn entfernt (c. 51 5).

53. 4. κατά: vgl. I 84 22. Natürlich nicht auf derselben Strafse und an denselben Ort, sondern nur in derselben rückgängigen Bewegung.

7. Ἀμομφάρετος ist vielleicht nur ein Ehrenname; war er doch wirklich ein 'Ritter ohne Furcht und Tadel'.

8. τοῦ Πιτανητέων λόχου: ob damit in herkömmlicher Bezeichnung überhaupt eine bestimmte und besondere Abtheilung des spart. Heeres, oder nur dasjenige Korps gemeint

φεύξεσθαι οὐδὲ ἐκὼν εἶναι αἰσχυνέειν τὴν Σπάρτην,
10 ἐθώυμαζέ τε ὁρέων τὸ ποιεύμενον ἅτε οὐ παραγενόμενος τῷ προτέρῳ λόγῳ. ὁ δὲ Παυσανίης τε καὶ ὁ Εὐρυάναξ δεινὸν μὲν ἐποιεῦντο τὸ μὴ πείθεσθαι ἐκεῖνον σφίσι, δεινότερον δὲ ἔτι, ἐκείνου ταῦτα νενωμένου, ἀπολιπεῖν τὸν λόχον τὸν Πιτανήτην, μὴ ἢν ἀπολίπωσι
15 ποιεῦντες τὰ συνεθήκαντο τοῖσι ἄλλοισι Ἕλλησι, ἀπόληται ὑπολειφθεὶς αὐτός τε Ἀμομφάρετος καὶ οἱ μετ' αὐτοῦ. ταῦτα λογιζόμενοι ἀτρέμας εἶχον τὸ στρατόπεδον τὸ Λακωνικόν, καὶ ἐπειρέοντο πείθοντές μιν ὡς οὐ
54 χρεὼν εἴη ταῦτα ποιέειν. καὶ οἱ μὲν παρηγορέοντο Ἀμομφάρετον μοῦνον Λακεδαιμονίων τε καὶ Τεγεητέων λελειμμένον, Ἀθηναῖοι δὲ ἐποίευν τοιάδε· εἶχον ἀτρέμας σφέας αὐτοὺς ἵνα ἐτάχθησαν, ἐπιστάμενοι τὰ Λακε-
5 δαιμονίων φρονήματα ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων. ὡς δὲ ἐκινήθη τὸ στρατόπεδον, ἔπεμπον

sein soll, das in diesem einzelnen Fall vorzugsweise aus Pitanaten (zu III 55 8) bestand und deshalb nach denselben benannt ist, läfst sich aus den Worten nicht feststellen. Thukyd. I 20 versteht es in jenem Sinne, und nimmt davon Anlafs die Existenz eines solchen *λόχος Πιτανάτης* überhaupt in Abrede zu stellen (s. zu VI 57 28). Und diese Differenz der beiden grossen Historiker scheint von den späteren Archaeologen eifrig besprochen worden zu sein. Hesych. *ὁ πιτανάτης λόχος αὐτοσχεδιάζεται, οὐκ ὢν ταῖς ἀληθείαις.* Kaiser Caracalla liefs sich in eitler Nachäffung des Alterthums junge Leute aus Sparta kommen, die er in einen s. g. *λόχος Πιτανάτης* formirte (Herodian. IV 8). — Die Stärke des Lochos ist übrigens hier wohl nicht nach der bekannten (späteren?) Eintheilung des spart. Heeres in sechs *μόραι* zu je vier *λόχοι* (Xen. resp. Lac. XI 4), also auf etwa 200 M. (vgl. c. 28 3) zu schätzen, sondern wie Thuk. V 68 das spart. Heer aus sechs *λόχοι* bestehen läfst ohne noch der *μόραι* zu erwähnen, so wird auch hier eine der (sechs) Hauptabtheilungen gemeint sein. Denn Amompharetos war kein untergeordneter Offizier (etwa Hauptmann) wie es sonst die Lochagen waren (vgl. 6 *ταξιαρχέων* u. c. 55 3 *τοὺς πρώτους*), sondern hatte Stimmrecht im Kriegsrathe (c. 55 10). Das Genauere über die ganze Organisation jenes Heeres war auch für die Zeitgenossen schwer zu erfahren.

10. *οὐ παραγενόμενος*: vermuthlich stand er auf einem wichtigen Vorposten (c. 57), den er zu verlassen um so mehr Bedenken trug.

11. *Εὐρυάναξ*: s. c. 10 15.

54. 2. *Λακεδαιμονίων τε καὶ Τεγεητέων*, die zusammen den rechten Flügel bildeten.

3. *λελειμμένον*: zu VII 153 7.

5 f. Il. ι 312 *ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν ἄλλο δὲ εἴπῃ.* — H., der in dieser ganzen Partie auf athen. Seite steht (zu VIII

σφέων ἱππέα ὀψόμενόν τε εἰ πορεύεσθαι ἐπιχειρέοιεν οἱ Σπαρτιῆται, εἴτε καὶ τὸ παράπαν μὴ διανοεῦνται ἀπαλλάσσεσθαι, ἐπείρεσθαί τε Παυσανίην τὸ χρεὼν εἴη ποιέειν. ὡς δὲ ἀπίκετο ὁ κῆρυξ ἐς τοὺς Λακεδαιμο- 55
νίους, ὥρα τέ σφεας κατὰ χώρην τεταγμένους καὶ ἐς νείκεα ἀπιγμένους αὐτῶν τοὺς πρώτους. ὡς γὰρ δὴ παρηγορέοντο τὸν Ἀμομφάρετον ὅ τε Εὐρυάναξ καὶ ὁ Παυσανίης μὴ κινδυνεύειν μένοντας μούνους Λακεδαι- 5
μονίων, οὔ κως ἔπειθον, ἐς δὲ ἐς νείκεά τε συμπεσόντες ἀπίκατο καὶ ὁ κῆρυξ τῶν Ἀθηναίων παρίστατό σφι ἀπιγμένος. νεικέων δὲ ὁ Ἀμομφάρετος λαμβάνει πέτρον ἀμφοτέρῃσι τῇσι χερσί, καὶ τιθεὶς πρὸ ποδῶν τῶν Παυσανίεω ταύτῃ τῇ ψήφῳ ψηφίζεσθαι ἔφη μὴ 10
φεύγειν τοὺς ξείνους, ξείνους λέγων τοὺς βαρβάρους. ὁ δὲ μαινόμενον καὶ οὐ φρενήρεα καλέων ἐκεῖνον, πρός τε τὸν Ἀθηναίων κήρυκα ἐπειρωτέοντα τὰ ἐντεταλμένα λέγειν ὁ Παυσανίης ἐκέλευε τὰ παρεόντα σφι πρήγματα, ἐχρήιζέ τε τῶν Ἀθηναίων προσχωρῆσαί τε πρὸς ἑωυ- 15
τοὺς καὶ ποιέειν περὶ τῆς ἀπόδου τά περ ἂν καὶ σφεῖς.

144 23), hat auch hier der verbitterten Volksstimmung seiner Zeit Worte gegeben. Aehnlich Ar. Acharn. 308 (*Λάκωσιν*) *οἷσιν οὔτε βωμὸς οὔτε πίστις οὔθ' ὅρκος μένει*, Pac. 1067 *ἀλωπεκιδεῦσι πέπεισθε Ὧν δόλιαι ψυχαί, δόλιαι φρένες.* Eur. Andr. 445 *ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια, Ψευδῶν ἄνακτες, μηχανόρραφοι κακῶν, Ἑλικτὰ κουδὲν ὑγιές, ἀλλὰ πᾶν πέριξ Φρονοῦντες, ἀδίκως εὐτυχεῖτ' ἂν' Ἑλλάδα ... οὐκ αἰσχροκερδεῖς; οὐ λέγοντες ἄλλα μὲν Γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί;* — Die auffallende Bewegung des Centrums mochte den Argwohn erregt haben.

9. *ἐπείρεσθαι*: s. c. 6 12. — *τό*, st. *τί* od. *ὅ τι*; zu I 56 5.

55. 2. *τε*, mit Hyperbaton. Eig. *ὥρα κατὰ χ. τε τετ. σφέας καὶ ...* Vgl. zu I 207 35. — *κατὰ χώρην*: zu III 135 18.

5. *μένοντας μούνους*, er und seine Leute. Ebenso c. 57 3.

6. *συμπεσόντες*: zu III 120 12.

11. Vgl. c. 11 15.

12. *μαινόμενον καὶ οὐ φρενήρεα*: zu III 23 6.

13. *τε* stände richtiger hinter *λέγειν*. — Nach *κήρυκα* wird ein Wort wie *τραπόμενος* vermifst. — *ἐπειρωτέοντα τὰ ἐντεταλμένα*, *percunctantem quae iussus erat.*

14. *ὁ Παυσανίης*: zu V 1 9.

15. *προσχωρῆσαι*, um die durch die Flucht des Centrums gerissene Lücke auf ihrer linken Seite zu füllen; sonst konnten sie leicht umgangen werden.

16. Die Athener sollten ihre weiteren Bewegungen in Uebereinstimmung mit denen der Spartiaten setzen.

56 καὶ ὁ μὲν ἀπαλλάσσετο ἐς τοὺς Ἀθηναίους· τοὺς δὲ ἐπεὶ ἀνακρινομένους πρὸς ἑωυτοὺς ἠὼς κατελάμβανε, ἐν τούτῳ τῷ χρόνῳ κατήμενος ὁ Παυσανίης, οὐ δοκέων τὸν Ἀμομφάρετον λείψεσθαι τῶν ἄλλων Λακεδαιμονίων ἀποστειχόντων, τὰ δὴ καὶ ἐγένετο, σημήνας ἀπῆγε διὰ τῶν κολωνῶν τοὺς λοιποὺς πάντας· εἵποντο δὲ καὶ Τεγεῆται. Ἀθηναῖοι δὲ ταχθέντες ἦισαν τὰ ἔμπαλιν ἢ Λακεδαιμόνιοι· οἱ μὲν γὰρ τῶν τε ὄχθων ἀντείχοντο καὶ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος φοβεόμενοι τὴν ἵππον, Ἀθηναῖοι δὲ κάτω τραφθέντες ἐς τὸ
57 πεδίον. Ἀμομφάρετος δὲ ἀρχήν τε οὐδαμὰ δοκέων Παυσανίην τολμήσειν σφέας ἀπολιπεῖν, περιείχετο αὐτοῦ μένοντας μὴ ἐκλιπεῖν τὴν τάξιν· προτερεόντων δὲ τῶν σὺν Παυσανίῃ, καταδόξας αὐτοὺς ἰθέῃ τέχνῃ ἀπολιπεῖν αὐτόν, ἀναλαβόντα τὸν λόχον τὰ ὅπλα ἦγε βάδην πρὸς τὸ ἄλλο στῖφος. τὸ δὲ ἀπελθὸν ὅσον τε δέκα στάδια ἀνέμενε τὸν Ἀμομφαρέτου λόχον, περὶ ποταμὸν Μολόεντα ἱδρυμένον Ἀργιόπιόν τε χῶρον καλεόμενον, τῇ καὶ Δήμητρος Ἐλευσινίης ἱρὸν ἔσται. ἀνέμενε δὲ

56. 2. *ἀνακρινομένους*: zu III 120 13. VIII 69 7. — *ἑωυτούς* = *ἀλλήλους*. — *κατελάμβανε*: zu VIII 6 9.

3. *κατήμενος* 'ruhig stehend' (c. 72 6 u. zu c. 41 4) ist nach *ἐν τούτῳ τῷ χρόνῳ* (= *ἐνθαῦτα*) unpassend. Wahrscheinlich gehört das Wort (*κατήμενον*) in die fg. Zeile vor *λείψεσθαι*. Falls nicht *ἐν τούτῳ τῷ χρόνῳ κατήμενος* (*interim commorans*) zusammen ihre erste Stelle c. 57 1 vor *ἀρχήν* hatten, wo das ungefüge *τε* eine Lücke verräth.

7 f. *ταχθέντες* 'wie sie angewiesen, beordert waren' (V 123 3. VII 121 12. 169 2. VIII 7 9. 13 2. IX 104 5). — *τὰ ἔμπαλιν* gilt hier nicht sowohl von der entgegengesetzten Wegerichtung — die Lak. marschirten westwärts, die Athen. südwärts — als von der Verschiedenheit des Terrains, wie die fg. Worte erklären.

11. *πεδίον*, das sich vom Asopos zwischen den Hügelreihen nach Plataeae hinaufzieht. Sie wollten sich eben auf kürzestem Wege mit den Spart. vereinigen, erwartend dafs ihnen jene entgegenrücken oder sie wenigstens erwarten würden, worin sie sich dann doch getäuscht sahen.

57. Konstr. *δοκέων Παυσανίην οὐδαμὰ* (= *οὔποτε*) *τολμήσειν*.

4. *ἰθέῃ τέχνῃ*: vgl. zu II 161 17.

5. *βάδην*, um auch den Schein der Flucht zu vermeiden.

8. *ἱδρυμένον* = *κατήμενον* (c. 56 3).

9. 'Der Bach Moloeis mufs östl. oder südöstl. von der 'Insel' gewesen sein. Pansanias macht auf dem Marsche nach der Insel an ihm Halt, um den zurückgebliebenen Am. zu

τοῦδε εἵνεκεν, ἵνα ἦν μὴ ἀπολίπῃ τὸν χῶρον ἐν τῷ ἐτετάχατο ὁ Ἀμομφάρετός τε καὶ ὁ λόχος, ἀλλ' αὐτοῦ μένωσι, βοηθέοι ὀπίσω παρ' ἐκείνους. καὶ οἵ τε ἀμφὶ τὸν Ἀμομφάρετον παρεγίνοντό σφι, καὶ ἡ ἵππος ἡ τῶν βαρβάρων προσεκέετο πᾶσα· οἱ γὰρ ἱππόται ἐποίευν οἷον καὶ ἐώθεσαν ποιέειν αἰεί, ἰδόντες δὲ τὸν χῶρον κεινὸν ἐν τῷ ἐτετάχατο οἱ Ἕλληνες τῇσι προτέρῃσι ἡμέρῃσι, ἤλαυνον τοὺς ἵππους αἰεὶ τὸ πρόσω καὶ ἅμα καταλαβόντες προσεκέατό σφι.

58 Μαρδόνιος δὲ ὡς ἐπύθετο τοὺς Ἕλληνας ἀποιχομένους ὑπὸ νύκτα εἶδέ τε τὸν χῶρον ἐρῆμον, καλέσας τὸν Ληρισαῖον Θώρηκα καὶ τοὺς ἀδελφεοὺς αὐτοῦ Εὐρύπυλον καὶ Θρασυδήιον ἔλεγε „ὦ παῖδες Ἀλεύεω, ἔτι τί λέξετε τάδε ὁρέοντες ἐρῆμα; ὑμεῖς γὰρ οἱ πλησιόχωροι ἐλέγετε Λακεδαιμονίους οὐ φεύγειν ἐκ μάχης, ἀλλ' ἄνδρας εἶναι τὰ πολέμια πρώτους, τοὺς πρότερόν τε μετισταμένους ἐκ τῆς τάξιος εἴδετε, νῦν τε ὑπὸ τὴν

erwarten und zwar nachdem er zehn Stadien marschirt ist. Nun war nach c. 51 die 'Insel' auch zehn Stadien von der Gargaphia entfernt, bei der die Spartaner vorher standen. Es liegt daher die Vermuthung nahe, der Bach, welcher die 'Insel' östl. begränzte, sei der Moloeis gewesen. Wenn das aber nicht der Fall war — und streng genommen sind allerdings H.'s Worte dagegen, da er die Insel nur von der Oëroë umflossen angiebt, also auch den östl. Gränzbach unter diesem Namen begreift — so muſs er noch östlicher gewesen sein, da jn die Spartaner die Oëroë auch nicht erreicht, geschweige überschritten hatten'. Vischer 548. — *ἦσται*, ungewöhnlich aber an sich nicht auffällig für *ἵδρυται*. Denn *ἧσθαι* ist als Perf. Pass. zu *εἶσα* anzusehen. Pind. P. V 54 *ἀνδριάντι - Κρῆτες ὃν τοξοφόροι τέγει Παρνασίῳ κάθεσσαν*. Her. I 66 *ἱρὸν εἱσάμενοι*. Das für Tempelgründungen übliche stammverwandte *ἱδρύειν* (W. *ἰδ.* od. *σιδ.*) war hier kurz vorher für einen anderen Sinn verwendet.

10. *ἀπολίπῃ*: vom Singular zu V 12 5.

12 f. *τε - καί* 'eben - da'. Zu II 93 26.

14. *ἐποίευν*: sie begannen auch an diesem Tage mit Sonnenaufgang ihre Angriffe.

15. *οἷον καί, idem quod.*

Schlacht bei Plataeae (c. 58—70). A. Siegreicher Kampf der Spartiaten und Tegeaten (c. 58—65).

58. 3. S. VII 6 6.

4. *Ἀλεύεω παῖδες*, wie VII 130 14. — *ἔτι*: zu c. 79 15.

5. *οἱ πλησιόχωροι*: so konnten die Perser von ihrem Standpunkte aus sie wohl ansehen.

6. *ἐλέγετε*: H. berichtet eine solche Aeuſserung nicht.

παροιχομένην νύκτα καὶ οἱ πάντες ὀρέομεν διαδράντας· διέδεξάν τε, ἐπεί σφεας ἔδεε πρὸς τοὺς ἀψευδέως ἀρίστους ἀνθρώπων μάχῃ διακριθῆναι, ὅτι οὐδένες ἄρα ἐόντες ἐν οὐδαμοῖσι ἐοῦσι Ἕλλησι ἐναπεδεικνύατο. καὶ ὑμῖν μὲν ἐοῦσι Περσέων ἀπείροισι πολλὴ ἔκ γε ἐμεῦ ἐγίνετο συγγνώμη, ἐπαινεόντων τούτους τοῖσί τι καὶ συνηδέατε· Ἀρταβάζου δὲ θῶυμα καὶ μᾶλλον ἐποιεύμην τὸ καὶ καταρρωδῆσαι Λακεδαιμονίους, καταρρωδήσαντά τε ἀποδέξασθαι γνώμην δειλοτάτην, ὡς χρεὼν εἴη ἀναζεύξαντας τὸ στρατόπεδον ἰέναι ἐς τὸ Θηβαίων ἄστυ πολιορκησομένους· τὴν ἔτι πρὸς ἐμεῦ βασιλεὺς πεύσεται. καὶ τούτων μὲν ἑτέρωθι ἔσται λόγος· νῦν δὲ ἐκείνοισι ταῦτα ποιεῦσι οὐκ ἐπιτρεπτέα ἐστί, ἀλλὰ διωκτέοι εἰσὶ ἐς ὃ καταλαμφθέντες δώσουσι ἡμῖν τῶν δὴ ἐποίησαν Πέρσας πάντων δίκας." ταῦτα εἶπας ἦγε τοὺς Πέρσας δρόμῳ διαβάντας τὸν Ἀσωπὸν κατὰ στίβον τῶν Ἑλλήνων ὡς δὴ ἀποδιδρησκόντων, ἐπεῖχέ τε ἐπὶ Λακεδαιμονίους τε καὶ Τεγεήτας μούνους· Ἀθηναίους γὰρ τραπομένους ἐς τὸ πεδίον ὑπὸ τῶν ὄχθων

9. *καί* geh. zu *διαδράντας*.

10. *διέδεξαν*: zu VII 172 2.

11 f. *διακριθῆναι*, *decertare*. — *οὐδένες* = *οὐδενὸς ἄξιοι*, 'ohne Werth, nichtig' (VII 14 6). Gleichdeutig *οὐδαμοῖσι*. — *ἄρα*: zu III 64 20. Es bezieht sich nur auf *οὐδένες ἐόντες*. — *ἐναπεδεικνύατο* 'grofsthaten, mit ihren Thaten prunkten'. — Wenn die Lakonen, meint Mard., sich irgend einen Namen gemacht, während sie doch, wie es ihr jetziges Benehmen klärlich zeige, von keiner Bedeutung wären, so sei das daher zu erklären dafs die übrigen Hellenen, unter denen sie sich hervorgethaa, eben auch nichts werth seien; sie behaupteten *vitio ceterorum* ihren Vorrang.

14 f. Wegen *ἐπαινεόντων* nach *ὑμῖν* zu I 3 8. — *τοῖσί τι καὶ συνηδέατε* 'von denen ihr doch wenigstens etwas wufstet', über die ihr doch immer nach eigener Erfahrung urtheilen konntet. Zum Ausdruck V 24 14. — *Ἀρταβάζου*, zu verbinden mit *τὸ καὶ καταρρωδῆσαι*. Denn *θῶυμα ἐποιεύμην* = *ἐθώυμαζον* (zu VII 99 3). Aehnlich c. 79 3. — *καὶ μᾶλλον*, als über euch. — *ἐποιεύμην*, im letzten Kriegsrathe (c. 41).

20. *ἑτέρωθι*: *ἑτέρωτε*? zu III 35 19.

59. 3. *ἐπεῖχε*, sc. *τοὺς Πέρσας*, *duxit*, *direxit*.

5. *ὑπὸ τῶν ὄχθων*: er rückte vom Asopos südwärts zum Kithaeron hinauf, mitten durch die niedrige wellenförmige Hügelgruppe, die zwischen der Mündung des Dreihäupterpasses und Plataeae vom Fufse des Kithaeron aus nordwärts bis an das Bette des Asopos vortritt (Rofs Königsr. I 17), in der Absicht die am Gehänge des Gebirgs (c. 56 9)

οὐ κατώρα. Πέρσας δὲ ὁρέοντες ὡρμημένους διώκειν τοὺς Ἕλληνας οἱ λοιποὶ τῶν βαρβαρικῶν τελέων ἄρχοντες αὐτίκα πάντες ἤειραν τὰ σημήια, καὶ ἐδίωκον ὡς ποδῶν ἕκαστος εἶχον, οὔτε κόσμῳ οὐδενὶ κοσμηθέντες οὔτε τάξι. καὶ οὗτοι μὲν βοῇ τε καὶ ὁμίλῳ ἐπήισαν ὡς ἀναρπασόμενοι τοὺς Ἕλληνας· Παυσανίης δέ, ὡς προσεκέετο ἡ ἵππος, πέμψας πρὸς τοὺς Ἀθηναίους ἱππέα λέγει τάδε. „ἄνδρες Ἀθηναῖοι, ἀγῶνος μεγίστου προκειμένου ἐλευθέρην εἶναι ἢ δεδουλωμένην τὴν Ἑλλάδα, προδεδόμεθα ὑπὸ τῶν συμμάχων ἡμεῖς τε οἱ Λακεδαιμόνιοι καὶ ὑμεῖς οἱ Ἀθηναῖοι, ὑπὸ τὴν παροιχομένην νύκτα διαδράντων. νῦν ὧν δέδοκται τὸ ἐνθεῦτεν τὸ ποιητέον ἡμῖν· ἀμυνομένους γὰρ τῇ δυνάμεθα ἄριστα περιστέλλειν ἀλλήλους. εἰ μέν νυν ἐς ὑμέας ὥρμησε ἀρχὴν ἡ ἵππος, χρῆν δὲ ἡμέας τε καὶ τοὺς μετ' ἡμέων τὴν Ἑλλάδα οὐ προδιδόντας [Τεγεήτας] βοηθέειν ὑμῖν· νῦν δέ, ἐς ἡμέας γὰρ ἅπασα κεχώρηκε, δίκαιοί ἐστε ὑμεῖς πρὸς τὴν πιεζομένην μάλιστα τῶν μοιρέων ἀμυνέοντες ἰέναι. εἰ δ' ἄρα αὐτοὺς ὑμέας κατελελάβηκε ἀδύνατόν τι βοηθέειν, ὑμεῖς δ' ἡμῖν τοὺς τοξότας ἀποπέμψαντες χάριν θέσθε. συνοίδαμεν δὲ ὑμῖν

einherziehenden Spartiaten in der rechten Flanke zu fassen und zur Schlacht zu zwingen. Dabei entging es ihm dafs rechts von seiner Marschlinie, nur durch die Hügel getrennt und verdeckt, die Athener ebenfalls vom Asopos her und in derselben Richtung die Ebene hinaufzogen; sonst hätte er sich wohl auf diese zuerst geworfen, da er sie von zwei Seiten, im Rücken und in der linken Seite und zwar auf einem für Reiterei günstigeren Boden hätte angreifen können.

9f. *κόσμος* betrifft die Gliederung und Ordnung der einzelnen Regimenter (*τέλεα*), *τάξις* ihre Stellung und Aufgabe innerhalb des ganzen Heeres. Vgl. zu VIII 86 5.

60. *βοῇ τε καὶ ὁμίλῳ*: zu III 79 5. 127 13. — *ὡς ἀναρπασόμενοι*: vgl. VIII 28 8.

3. *προσεκέετο*, also schon vor der Ankunft des Mardonios.

4f. S. zu VII 11 17.

8. *δέδοκται*, wie IV 68 20. Was nun zu thun, sei selbstverständlich, bedürfte nicht erst der Erörterung noch neuen Beschlusses.

11. *δέ*: zu II 39 8.

16. *ἀδύνατόν τι* = *ἀδυνασίη*. Vgl. zu VI 138 17. — *ὑμεῖς δέ*: zu I 112 9.

17f. *τοξότας*: zu c. 22 3. Sie sollten die Reiter fernhalten. — *ἀποπέμψαντες*: vgl. V 63 15. — *χάριν τίθεσθαι*, noch c. 107 16, = *χαρίζεσθαι*. — *συνοίδαμεν-ἐοῦσι*: zu V 24 17.

ὑπὸ τὸν παρεόντα τόνδε πόλεμον ἐοῦσι πολλὸν προθυ-
61 μοτάτοισι, ὥστε καὶ ταῦτα ἐσακούειν.“ ταῦτα οἱ Ἀθηναῖοι ὡς ἐπύθοντο, ὡρμέατο βοηθέειν καὶ τὰ μάλιστα ἐπαμύνειν. καί σφι ἤδη στείχουσι ἐπιτίθενται οἱ ἀντιταχθέντες Ἑλλήνων τῶν μετὰ βασιλέος γενομένων, ὥστε
5 μηκέτι δύνασθαι βοηθῆσαι· τὸ γὰρ προσκείμενόν σφεας ἐλύπεε. οὕτω δὴ μουνωθέντες Λακεδαιμόνιοι καὶ Τεγεῆται, ἐόντες σὺν ψιλοῖσι ἀριθμὸν οἱ μὲν πεντακισμύριοι, Τεγεῆται δὲ τρισχίλιοι (οὗτοι γὰρ οὐδαμὰ ἀπεσχίζοντο ἀπὸ Λακεδαιμονίων), ἐσφαγιάζοντο ἀς συμ-
10 βαλέοντες Μαρδονίῳ καὶ τῇ στρατιῇ τῇ παρεούσῃ. καὶ οὐ γάρ σφι ἐγίνετο τὰ σφάγια χρηστά, ἔπιπτόν τε αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ πολλοὶ καὶ πολλῷ πλεῦνες ἐτρωματίζοντο· φράξαντες γὰρ τὰ γέρρα οἱ Πέρσαι ἀπίεσαν τῶν τοξευμάτων πολλὰ ἀφειδέως, οὕτω ὥστε
15 πιεζομένων τῶν Σπαρτιητέων καὶ τῶν σφαγίων οὐ γινομένων ἀποβλέψαντα τὸν Παυσανίην πρὸς τὸ Ἡραῖον τὸ Πλαταιέων ἐπικαλέσασθαι τὴν θεόν, χρηίζοντα μη-

61. 2. *τὰ μάλιστα*: zu V 63 9.

5. *τὸ προσκείμενον*, kollektiv; zu I 97 1.

7f. S. c. 28f. Es sind also auf die 5000 Perioeken nur 5000 Leichte gerechnet, ebenso wie für die 1500 Tegeaten eine gleiche Anzahl Leichter gerechnet werden. — *ἀπεσχίζοντο* 'trennten sich' (VII 233 6).

13. *φράξαντες τὰ γέρρα* erklärt Rüstow griech. Kriegsw. 67: 'Das pers. Fufsvolk pflanzte seine Flechtschilde vor der Fronte auf, wahrscheinlich mittelst der kurzen Spiefse, die es führte, und begann alsbald hinter dieser Pallisade hervor die Lakonen mit einem Hagel von Pfeilen zu überschütten'. Einer Hopliten-phalanx konnte aber eine so einfache Brustwehr keinen erheblichen Widerstand leisten (c. 62 7f.). Wahrscheinlicher ist dafs sie die kleinen leichten Schilde, um sich gegen die langen Stofsspeere der Hellenen zu decken, nach einer gewissen für solchen Fall erfundenen und eingeübten Methode, längs der ganzen Front in mehreren Schichten zusammenlegten (*συνεφόρησαν τὰ γέρρα ἔρκος εἶναι σφίσι* c. 99 19), so dafs sie eine etwa brusthohe breite Mauer bildeten. Als dann die Hellenen sie durchbrachen (*διωσάμενοι τὰ γέρρα* c. 102 12), waren die pers. Fufsgänger ohne alle Deckung (c. 62 12. 63 10f.).

14. *ἀφειδέως*, *largiter* (I 163 15. 207 29).

15. *οὐ γινομένων*: vgl. zu V 44 13.

16. *τὸ Ἡραῖον*: es lag zu seiner Linken, etwa ¼ M. entfernt (c. 52 10. 57 6), wahrscheinlich auf einem Vorsprunge des Gebirgs, wovon die Göttin *ἡ Κιθαιρωνία* hiefs (Plut. Arist. 11. 18). Von dem höher ge-

δαμῶς σφέας ψευσθῆναι τῆς ἐλπίδος. ταῦτα δ' ἔτι 62
τούτου ἐπικαλευμένου προεξαναστάντες πρότεροι οἱ Τεγεῆται ἐχώρεον ἐς τοὺς βαρβάρους, καὶ τοῖσι Λακεδαιμονίοισι αὐτίκα μετὰ τὴν εὐχὴν τὴν Παυσανίεω ἐγίνετο θυομένοισι τὰ σφάγια χρηστά. ὡς δὲ χρόνῳ κοτὲ ἐγέ- 5
νετο, ἐχώρεον καὶ οὗτοι ἐπὶ τοὺς Πέρσας, καὶ οἱ Πέρσαι ἀντίοι, τὰ τόξα μετέντες. ἐγίνετο δὲ πρῶτον περὶ τὰ γέρρα μάχη. ὡς δὲ ταῦτα ἐπεπτώκεε, ἤδη ἐγίνετο μάχη ἰσχυρὴ παρ' αὐτὸ τὸ Δημήτριον καὶ χρόνον ἐπὶ πολλόν, ἐς ὃ ἀπίκοντο ἐς ὠθισμόν· τὰ γὰρ δούρατα 10
ἐπιλαμβανόμενοι κατέκλων οἱ βάρβαροι. λήματι μέν νυν καὶ ῥώμῃ οὐκ ἔσσονες ἦσαν οἱ Πέρσαι, ἄνοπλοι δὲ ἐόντες καὶ πρὸς ἀνεπιστήμονες ἦσαν καὶ οὐκ ὁμοῖοι τοῖσι ἐναντίοισι σοφίην. προεξαΐσσοντες δὲ κατ' ἕνα καὶ δέκα, καὶ πλεῖνές τε καὶ ἐλάσσονες συστρεφόμενοι, ἐσέ- 15
πιπτον ἐς τοὺς Σπαρτιήτας καὶ διεφθείροντο. τῇ δὲ 63
ἐτύγχανε αὐτὸς ἐὼν Μαρδόνιος, ἀπ' ἵππου τε μαχόμενος λευκοῦ ἔχων τε περὶ ἑωυτὸν λογάδας Περσέων τοὺς ἀρίστους χιλίους, ταύτῃ δὲ καὶ μάλιστα τοὺς ἐναντίους ἐπίεσαν. ὅσον μέν νυν χρόνον Μαρδόνιος περιῆν, 5
οἱ δὲ ἀντεῖχον καὶ ἀμυνόμενοι κατέβαλλον πολλοὺς τῶν Λακεδαιμονίων· ὡς δὲ Μαρδόνιος ἀπέθανε καὶ τὸ περὶ ἐκεῖνον τεταγμένον ἐὸν ἰσχυρότατον ἔπεσε, οὕτω δὴ

legenen Wahlplatze aus führte die Straſse links zu dem Tempel hinab (c. 69 8).

62. 2. *προεξαναστάντες πρότεροι*: vgl. IV 145 3.

5. *χρόνῳ κοτέ, tandem aliquando.*

7. Hinter *ἀντίοι* scheint *ἔστασαν* zu fehlen (vgl. c. 18 4); auch übersetzt Valla *ex adverso stetere*. *ἐχώρεον* zu ergänzen läſst die Sache nicht zu.

8. *ἐπεπτώκεε* 'niedergeworfen, eingerissen waren'.

9. *τὸ Δημήτριον*: s. c. 57 9.

10. *τὰ δούρατα*, die langen Hopliten-speere.

12. *ἄνοπλοι*, d. h. *ψιλοί* (vgl. c. 30 10), *γυμνῆτες* (c. 63 11) waren sie den hellen. Schwerbewaffneten gegenüber, auch wenn sie ihre volle Rüstung hatten; s. V 49 16 ff. Jetzt entbehrten sie obendrein ihre Schilde.

13. Dasselbe Urtheil VII 211 10.

14. *σοφίη, sollertia* (V 23 11).

63. 4. *χιλίους*, wohl das VIII 113 11 erwähnte erlesene Reiterregiment. — *δέ*: zu II 39 8.

6. *κατέβαλλον*, wie IV 64 2.

7 f. S. die Stellen des Plutarch zu VIII 134 9. — *τὸ-τεταγμένον*: zu I 97 1. — *ἐὸν ἰσχυρότατον*, schon wegen der besseren Bewaffnung.

καὶ οἱ ἄλλοι ἐτράποντο καὶ εἶξαν τοῖσι Λακεδαιμονίοι-
10 σι. πλεῖστον γάρ σφεας ἐδηλέετο ἡ ἐσθὴς ἐρῆμος ἐοῦσα
ὅπλων· πρὸς γὰρ ὁπλίτας ἐόντες γυμνῆτες ἀγῶνας ἐ-
64 ποιεῦντο. ἐνθαῦτα ἥ τε δίκη τοῦ φόνου τοῦ Λεωνίδεω
κατὰ τὸ χρηστήριον τοῖσι Σπαρτιήτῃσι ἐκ Μαρδονίου
ἐπετελέετο, καὶ νίκην ἀναιρέεται καλλίστην ἁπασέων
τῶν ἡμεῖς ἴδμεν Παυσανίης ὁ Κλεομβρότου τοῦ Ἀνα-
5 ξανδρίδεω. τῶν δὲ κατύπερθέ οἱ προγόνων τὰ οὐνόμα-
τα εἴρηται ἐς Λεωνίδεα· ὦντοὶ γάρ σφι τυγχάνουσι
ἐόντες. ἀποθνήσκει δὲ Μαρδόνιος ὑπ' Ἀριμνήστου ἀν-
δρὸς ἐν Σπάρτῃ λογίμου, ὃς χρόνῳ ὕστερον μετὰ τὰ
Μηδικὰ ἔχων ἄνδρας τριηκοσίους συνέβαλε ἐν Στευ-
10 κλήρῳ πολέμου ἐόντος Μεσσηνίοισι πᾶσι, καὶ αὐτός τε
65 ἀπέθανε καὶ οἱ τριηκόσιοι. ἐν δὲ Πλαταιῇσι οἱ Πέρσαι
ὡς ἐτράποντο ὑπὸ τῶν Λακεδαιμονίων, ἔφευγον οὐ-
δένα κόσμον ἔς τε τὸ στρατόπεδον τὸ ἑωυτῶν καὶ ἐς τὸ
τεῖχος τὸ ξύλινον τὸ ἐποιήσαντο ἐν μοίρῃ τῇ Θηβαΐδι.
5 θῶυμα δέ μοι ὅκως παρὰ τῆς Δήμητρος τὸ ἄλσος μα-
χομένων οὐδὲ εἷς ἐφάνη τῶν Περσέων οὔτε ἐσελθὼν ἐς
τὸ τέμενος οὔτε ἐναποθανὼν [περὶ τὸ ἱρὸν], οἱ δὲ πλεῖ-

10. Die VII 61 4 beschriebenen Panzerröcke trugen nur die Elitetruppen.

64. S. VIII 114.

3. Vom Wechsel der Tempora zu V 18 4. — *ἀναιρέεται*: zu V 102 12.

5. *κατύπερθε*, noch V 28 7, wie sonst öfter *ἀνέκαθεν* (V 55 6), *ἄνωθεν*. Plat. Menex. 236e *τινὲς τῶν ἄνωθεν ἔτι προγόνων*. — *οἱ*, mit dem Werthe eines Possessivs (zu I 34 16).

6. *εἴρηται*: s. VII 204. — *ἐς* 'bis auf'.

9. Verb. *συνέβαλε-Μεσσηνίοισι πᾶσι*. — *Στευκλήρος* ist der Name sowohl für die Ebene um den oberen Pamisos, nördlich von Ithome, als für die darin gelegene altdorische Hauptstadt des Landes. Der Unfall ist in den Anfang des 3. messen. Krieges zu setzen und eröffnete vielleicht den Aufstand.

65. 2. *ἐτράποντο*, *in fugam vertebantur*.

3f. *οὐδένα κόσμον*: zu VIII 117 7. — Die beiden Rückzugspunkte waren einmal das Lager jenseits und das Pallisadenwerk diesseits des Asopos (zu c. 15 9). Hätte, wie man insgemein annimmt, auch dieses jenseits des Flusses gelegen, so müsste die Unterscheidung zwischen *στρατόπεδον* und *τὸ τεῖχος*, ebenso der Zusatz *ἐν μοίρῃ τῇ Θηβαΐδι* auffallen, der in jenem Falle ganz überflüssig wäre, nach unserer Erklärung aber das diesseitige thebanische Gebiet von dem ihm benachbarten plataeischen (zu c. 15 8) sondert.

7. *περὶ τὸ ἱρόν* war eine Erklä-

στοι ἐν τῷ βεβήλῳ ἔπεσον. δοκέω δέ, εἴ τι περὶ τῶν θείων πρηγμάτων δοκέειν δεῖ, ἡ θεὸς αὐτὴ σφέας οὐκ ἐδέκετο ἐμπρήσαντας τὸ ἱρὸν τὸ ἐν Ἐλευσῖνι ἀνακτόριον.

66 Αὕτη μέν νυν ἡ μάχη ἐπὶ τοσοῦτο ἐγένετο. Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος αὐτίκα τε οὐκ ἠρέσκετο κατ' ἀρχὰς λειπομένου Μαρδονίου ἀπὸ βασιλέος, καὶ τότε πολλὰ ἀπαγορεύων οὐδὲν ἤνυε, συμβάλλειν οὐκ ἐῶν· ἐποίησέ τε αὐτὸς τοιάδε ὡς οὐκ ἀρεσκόμενος τοῖσι πρήγμασι τοῖσι ἐκ Μαρδονίου ποιευμένοισι. τῶν ἐστρατήγεε ὁ Ἀρτάβαζος (εἶχε δὲ δύναμιν οὐκ ὀλίγην ἀλλὰ καὶ ἐς τέσσερας μυριάδας ἀνθρώπων περὶ ἑωυτόν), τούτους, ὅκως ἡ συμβολὴ ἐγίνετο, εὖ ἐξεπιστάμενος τὰ ἔμελλε ἀποβήσεσθαι ἀπὸ τῆς μάχης, ἦγε κατηρτημένος, παραγγείλας κατὰ τὠυτὸ ἰέναι πάντας τῇ ἂν αὐτὸς ἐξηγέηται, ὅκως ἂν αὐτὸν ὀρέωσι σπουδῆς ἔχοντα. ταῦτα παραγγείλας ὡς μάχην ἦγε δῆθεν τὸν στρατόν. προτερέων δὲ τῆς ὁδοῦ ὥρα καὶ δὴ φεύγοντας τοὺς Πέρ-

rung zu *παρὰ τὸ ἄλσος*.

8 f. *εἴ τι-δεῖ*: vgl. II 3 15. — *ἡ θεός*, die eben auch eine *Ἐλευσινίη* war (c. 57 9).

10. *ἐμπρήσαντας*: erwähnt ist diese Thatsache bisher nicht. — *τὸ ἱρὸν τὸ ἀνακτόριον*, dea Tempel der 'beiden Göttinnen', der Demeter und der Kora. Gewöhnlicher ist das Substantiv *ἀνάκτορον*, eig. 'das Haus der *ἄνακτες*' (d. i. 'der Könige' oder 'der Götter'), ein poet. Ausdruck für 'Tempel' und besonders für die innere das Götterbild umschliefsende Cella (*μέγαρον*, *ἄδυτον*), speziell aber, wie es scheint, vom eleusia. Demeter-tempel üblich geworden. Athen. 167 *Ἐλευσῖνί τε μυστηρίων ὄντων ἔθηκεν αὐτῇ θρόνον παρὰ τὸ ἀνάκτορον*, 213 *τὸ σεμνὸν ἀνάκτορον τοῖν θεοῖν*.

B. Flucht des Artabazos. Sieg der Athener. Die übrigen Hellenen (c. 66—69).

66. 2. Verb. *αὐτίκα κατ' ἀρχάς*.

3. *ἀπό*: zu V 2 1. — Der Vf. ist sichtlich bemüht das eigenmächtige fast verrätherische Beaehmen des Manaes za erklärea und zu rechtfertigen. Vgl. zu VIII 126 1.

7. *ὁ Ἀρτάβαζος*: zu I 11 7.

8. Znr Zahlangahe vgl. VIII 126 3. Ein Theil war vor Potidaea gebliehen (VIII 129).

9. *ὅκως*: zu VII 229 11.

10. *κατηρτημένος*, ia völliger Marschbereitschaft, um dea Rückzug ohne Säumen antreten zu köaaen.

11 f. *κατὰ τὠυτό*, 'ebenso' (V 33 12), erhält seiae Relation ia *ὅκως-ἔχονται* 'mit derselben Eile, die sie an ihm bemerkea würdea'.

13. *ὡς-δῆθεν*, nur scheinbar.

14. *καὶ δή*: zu IV 102 3.

σας. οὕτω δὴ οὐκέτι τὸν αὐτὸν κόσμον κατηγέετο, ἀλλὰ τὴν ταχίστην ἐτρόχαζε φεύγων οὔτε ἐς τὸ ξύλινον τεῖχος οὔτε ἐς τὸ Θηβαίων τεῖχος ἀλλ' ἐς Φωκέας, ἐθέλων ὡς τάχιστα ἐπὶ τὸν Ἑλλήσποντον ἀπικέσθαι. 67 καὶ δὴ οὗτοι μὲν ταύτῃ ἐτράποντο, τῶν δὲ ἄλλων Ἑλλήνων τῶν μετὰ βασιλέος ἐθελοκακεόντων Βοιωτοὶ Ἀθηναίοισι ἐμαχέσαντο χρόνον ἐπὶ συχνόν. οἱ γὰρ μηδίζοντες τῶν Θηβαίων, οὗτοι εἶχον προθυμίην οὐκ ὀλίγην μαχόμενοί τε καὶ οὐκ ἐθελοκακέοντες, οὕτω ὥστε τριηκόσιοι αὐτῶν οἱ πρῶτοι καὶ ἄριστοι ἐνθαῦτα ἔπεσον ὑπ' Ἀθηναίων· ὡς δὲ ἐτράποντο καὶ οὗτοι, ἔφευγον ἐς τὰς Θήβας, οὐ τῇ περ οἱ Πέρσαι καὶ τῶν ἄλλων συμμάχων ὁ πᾶς ὅμιλος οὔτε διαμαχεσάμενος οὐδενὶ οὔτε τι 68 ἀποδεξάμενος ἔφευγον. δηλοῖ τέ μοι ὅτι πάντα τὰ πρήγματα τῶν βαρβάρων ἤρτηντο ἐκ Περσέων, εἰ καὶ τότε οὗτοι πρὶν ἢ καὶ συμμῖξαι τοῖσι πολεμίοισι ἔφευγον, ὅτι καὶ τοὺς Πέρσας ὥρεον. οὕτω τε πάντες ἔφευγον πλὴν τῆς ἵππου τῆς τε ἄλλης καὶ τῆς Βοιωτίης· αὕτη δὲ τοσαῦτα προσωφέλεε τοὺς φεύγοντας, αἰεί τε πρὸς τῶν πολεμίων ἄγχιστα ἐοῦσα, ἀπέργουσά τε τοὺς 69 φιλίους φεύγοντας ἀπὸ τῶν Ἑλλήνων. οἱ μὲν δὴ νικεόντες εἵποντο, τοὺς Ξέρξεω διώκοντές τε καὶ φονεύοντες· ἐν δὲ τούτῳ τῷ γινομένῳ φόβῳ ἀγγέλλεται τοῖσι ἄλλοισι Ἕλλησι τοῖσι τεταγμένοισι περὶ τὸ Ἡραῖον καὶ ἀπογενομένοισι τῆς μάχης ὅτι μάχη τε γέγονε καὶ νικῷεν οἱ μετὰ Παυσανίεω. οἱ δὲ ἀκούσαντες ταῦτα, οὐ-

15. *τὸν αὐτὸν κόσμον*: zu VIII 117 7. Die rasche Flucht (*τροχάζων*) löste die Glieder auf.

67. 2. *μετὰ βασιλέος*, se. *ἐόντων* od. *γενομένων*.

4. *οὗτοι*: zu III 14 4.

8. *τῇ περ*, in das feste Lager. — *τῶν ἄλλων συμμάχων*, nicht von den hellen. Bundesgenossen, von denen weder *οὔτε διαμαχεσάμενος* gelten kann (s. c. 61 4) noch die Bemerkung c. 68 1 ff.; sondern vielmehr von den *βάρβαροι* zu verstehen (c. 68 2 ff.). S. c. 70 2.

68. *δηλοῖ*, impersonal (II 117 2).

2. *πρήγματα ἤρτηντο*: zu III 88 14. — *εἰ καί*: zu V 78 3.

6. *τοσαῦτα*, durch die fg. Participien erklärt. Zu V 16 13.

69. 2. *εἵποντο*, aber nicht über den Asopos hinaus; daran hinderte sie die Reiterei, die sich diesseits hielt (c. 69 16).

3. *ἐν δὲ – φόβῳ* 'eben als diese Flucht begann'. *φόβος* wie bei Homer = *φυγή*.

δένα κόσμον ταχθέντες, οἱ μὲν ἀμφὶ Κορινθίους ἐτράποντο διά τε τῆς ὑπωρέης καὶ τῶν κολωνῶν τὴν φέρουσαν ἄνω ἰθὺ τοῦ ἱροῦ τῆς Δήμητρος, οἱ δὲ ἀμφὶ Μεγαρέας τε καὶ Φλιασίους διὰ τοῦ πεδίου τὴν λειοτάτην τῶν ὁδῶν. ἐπείτε δὲ ἀγχοῦ τῶν πολεμίων ἐγίνοντο οἱ Μεγαρέες καὶ Φλιάσιοι, ἀπιδόντες σφέας οἱ τῶν Θηβαίων ἱππόται ἐπειγομένους οὐδένα κόσμον ἤλαυνον ἐπ' αὐτοὺς τοὺς ἵππους τῶν ἱππάρχεε Ἀσωπόδωρος ὁ Τιμάνδρου, ἐσπεσόντες δὲ κατεστόρεσαν αὐτῶν ἑξακοσίους, τοὺς δὲ λοιποὺς κατήραξαν διώκοντες ἐς τὸν Κιθαιρῶνα.

Οὗτοι μὲν δὴ ἐν οὐδενὶ λόγῳ ἀπώλοντο· οἱ δὲ Πέρσαι καὶ ὁ ἄλλος ὅμιλος, ὡς κατέφυγον ἐς τὸ ξύλινον τεῖχος, ἔφθησαν ἐπὶ τοὺς πύργους ἀναβάντες πρὶν ἢ τοὺς Λακεδαιμονίους ἀπικέσθαι, ἀναβάντες δὲ ἐφράξαντο ὡς ἐδυνέατο ἄριστα τὸ τεῖχος. προσελθόντων δὲ τῶν Λακεδαιμονίων κατεστήκεέ σφι τειχομαχίη ἐρρωμενεστέρη. ἕως μὲν γὰρ ἀπῆσαν οἱ Ἀθηναῖοι, οἱ δ' ἠμύνοντο καὶ πολλῷ πλέον εἶχον τῶν Λακεδαιμονίων ὥστε

7. *οἱ μὲν ἀμφὶ Κορινθίους*, die Kor. und die ihnen zunächst Stehenden, das rechte Centrum (c. 28). Die Megarer Phliasier und die Anderen (8) standen im linken Centrum, den Athenern und der Ebene näher.

8. *τὴν φέρουσαν ἄνω*, die Strafse welche von Plataeae ostwärts am Kithaeron entlang zu dem Dreihäupter-pafs führte, in dessen Nähe die Spartiaten schlugen.

10. *τὴν λειοτάτην τῶν ὁδῶν* (vgl. VII 104 4), die Strafse nach Theben. Der Ausdruck enthält einen leisen Spott über die Tollkühnheit.

12. *ἀπιδόντες*: zu VIII 37 2.

14. *Ἀσωπόδωρος*, wahrscheinlich der von Pindar Isthm. I 34 ehrenvoll erwähnte. Er war der Vater des Herodotus, dessen Wagengespann in den Isthmien siegte.

15. In den inschriftlich erhaltenen Denkversen des Simonides auf die in diesem Kriege gefallenen Megarer heifst es: *τὸν δὲ καὶ ἐν πεδίῳ Βοιωτίῳ (θανάτου μοῖραν ἐδεξάμεθα), οἵτινες ἔτλαν Χείρας ἐπ' ἀνθρώπους ἱππομάχους ἰέναι* (C. I. 1051. Simon. Fr. 110).

C. Erstürmung des festen Lagers. Einzelne Heldenthaten (c. 70—75).

70. *ἐν οὐδενὶ λόγῳ*, ohne dafs ihr Verlust weiter beachtet oder empfunden wurde; denn da sie an der eigentlichen Schlacht sich nicht betheiligt hatten, so entbehrte man sie auch nicht. IV 135 *τοὺς καματηροὺς τῶν ἀνδρῶν καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος.*

4. *ἐφράξαντο*, mit ihren Leibern und Waffen, die jede Lücke füllten und dem Eindringen wehrten.

6. *τῶν Λακεδαιμονίων*, wohl nur verschrieben für *τῶν Ἀθηναίων*. — *σφι*, den Persern.

7. *οἱ δέ*: zu II 39 8.

8. *πλέον εἶχον*: zu IV 4 9.

οὐκ ἐπισταμένων τειχομαχέειν· ὡς δέ σφι οἱ Ἀθηναῖοι προσῆλθον, οὕτω δὴ ἰσχυρὴ ἐγίνετο τειχομαχίη καὶ χρόνον ἐπὶ πολλόν. τέλος δὲ ἀρετῇ τε καὶ λιπαρίῃ ἐπέβησαν Ἀθηναῖοι τοῦ τείχεος καὶ ἤρειπον, τῇ δὴ ἐσεχέοντο οἱ Ἕλληνες. πρῶτοι δὲ ἐσῆλθον Τεγεῆται ἐς τὸ τεῖχος, καὶ τὴν σκηνὴν τὴν Μαρδονίου οὗτοι ἦσαν οἱ διαρπάσαντες, τά τε ἄλλα ἐξ αὐτῆς καὶ τὴν φάτνην τῶν ἵππων ἐοῦσαν χαλκέην πᾶσαν καὶ θέης ἀξίην. τὴν μέν νυν φάτνην ταύτην τὴν Μαρδονίου ἀνέθεσαν ἐς τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης Τεγεῆται, τὰ δὲ ἄλλα ἐς τὠυτό, ὅσα περ ἔλαβον, ἐσηνείκαντο τοῖσι Ἕλλησι. οἱ δὲ βάρβαροι οὐδὲν ἔτι στῖφος ἐποιήσαντο πεσόντος τοῦ τείχεος, οὐδέ τις αὐτῶν ἀλκῆς ἐμέμνητο, ἀλύκταζόν τε οἷα ἐν ὀλίγῳ χώρῳ πεφοβημένοι τε καὶ πολλαὶ μυριάδες κατειλημέναι ἀνθρώπων. παρῆν τε τοῖσι Ἕλλησι φονεύειν οὕτω ὥστε τριήκοντα μυριάδων στρατοῦ, καταδεουσέων τεσσέρων τὰς ἔχων Ἀρτάβαζος ἔφευγε, τῶν

9. *οὐκ ἐπισταμένων τειχομαχέειν*: denn in ihrem eigenen Lande hatten sie keine Befestigungen.

12. *ἤρειπον* 'legten eine Bresche'.

15. *τά τε ἄλλα-φάτνην* explizirt den Inhalt der *σκηνή*. Dadurch erhält *διαρπάσαντες* einen doppeldeutigen Bezug.

16. *θέης ἀξίην*, wegen der kunstreichen Arbeit und Verzierungen. Vgl. I 14 15. 25 6. II 182 5 u. s.

18. *Ἀλέης*: vgl. I 66 22.

19. *ἐς τὠυτὸ Ἕλλησι* 'vereinigten sie mit der Beute der anderen Hellenen'; s. c. 80f. Das Medium sagt an dafs dies der Antheil war, den die Tegeaten ihrerseits zu der Gemeinbeute beisteuerten.

21. *ἀλκῆς ἐμέμνητο*, homer. Reminiscenz. Il. ζ 112 *ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς*, u. s. — *ἀλύκταζον*, ein ἅπαξ λεγόμενον, von der Wurzel *ἀλυκ*, aus der auch *ἀλυκτέειν*, *ἀλυκταίνειν*, *ἀλύζειν*, *ἀλύσσειν*, *ἀλυσθαίνειν* entwickelt sind (vgl. *ἀλύειν*). Sie bezeichnet die beklommene Aufregung, die fieberhafte Unruhe, welche einen hohen Grad der Angst, der Ungeduld, des Schmerzes zu begleiten pflegt.

22. *πεφοβημένοι* 'geschenckt, gejagt'. Vgl. *φόβος* c. 69 3.

25f. *καταδεουσέων*: abzurechnen war wohl auch die Reiterei und all der Trofs, der jenseits des Asopos geblieben war, jedenfalls aber die zwei Myriaden, die Artabazos schon früher eingebüfst hatte (zu c. 66 8). Ktesias Pers. Fr. 26 schlägt den ganzen pers. Verlust nach der Schlacht von Salamis auf zwölf, Diodor XI 32 den bei Plataene auf mehr als zehn Myriaden an. — Aesch. Pers. 818 *τόσος γὰρ ἔσται* (prophezeit Dareins' Schatten) *πέλανος αἱματοσφαγὴς Πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο· νεκρῶν δὲ θῖνες καὶ τριτοσπόρῳ γονῇ Ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν Ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.* — *τῶν λοιπέων* tritt, nach

λοιπέων μηδὲ τρεῖς χιλιάδας περιγενέσθαι. Λακεδαιμονίων δὲ τῶν ἐκ Σπάρτης ἀπέθανον οἱ πάντες ἐν τῇ συμβολῇ εἷς καὶ ἐνενήκοντα, Τεγεητέων δὲ ἑκκαίδεκα, Ἀθηναίων δὲ δύο καὶ πεντήκοντα.

Ἡρίστευσε δὲ τῶν βαρβάρων πεζὸς μὲν ὁ Περσέων, **71** Ἵππος δὲ ἡ Σακέων, ἀνὴρ δὲ λέγεται Μαρδόνιος. Ἑλλήνων δέ, ἀγαθῶν γενομένων καὶ Τεγεητέων καὶ Ἀθηναίων, ὑπερεβάλοντο ἀρετῇ Λακεδαιμόνιοι. ἄλλῳ μὲν οὐδενὶ ἔχω ἀποσημήνασθαι (ἅπαντες γὰρ οὗτοι τοὺς κατ' ἑωυτοὺς ἐνίκεον), ὅτι δὲ κατὰ τὸ ἰσχυρότατον προσηνείχθησαν καὶ τούτων ἐκράτησαν. καὶ ἄριστος ἐγένετο μακρῷ Ἀριστόδημος κατὰ γνώμας τὰς ἡμετέρας, ὃς ἐκ Θερμοπυλέων μοῦνος τῶν τριηκοσίων σωθεὶς εἶχε ὄνειδός τε καὶ ἀτιμίην. μετὰ δὲ τοῦτον ἠρίστευσαν Ποσειδώνιός τε καὶ Φιλοκύων καὶ Ἀμομφάρετος ὁ Σπαρτιήτης. καίτοι γενομένης λέσχης ὃς γένοιτο αὐτῶν ἄριστος, ἔγνωσαν οἱ παραγενόμενοι Σπαρτιητέων Ἀριστόδημον μὲν βουλόμενον φανερῶς ἀποθανεῖν ἐκ τῆς παρεούσης οἱ αἰτίης, λυσσέοντά τε καὶ ἐκλιπόντα τὴν τάξιν ἔργα ἀποδέξασθαι μεγάλα, Ποσειδώνιον δὲ οὐ

erfolgter Beschränkung, berichtigend ein. Umgekehrt I 141 20.

27. *οἱ πάντες* 'im Ganzen'.

28 f. Plut. Arist. 19 *τῶν δ' ὑπὲρ τῆς Ἑλλάδος ἀγωνισαμένων ἔπεσον οἱ πάντες ἐπὶ χιλίοις ἑξήκοντα καὶ τριακόσιοι.* Ungereehnet läfst H. die gefallenen lakon. Perioeken, die Megarer und Phliasier, endlieh die Leichtbewaffneten. Die Namen jener 159 waren vermuthlich alle auf den Grabmälern des Schlachtfeldes (c. 85) zu lesen.

71. 4 f. *ἄλλῳ μέν*, asyndetisch; zu VI 21 7. — *ἀποσημήνασθαι*, 'aus keinem anderen Wahrzeichen (*σῆμα* = *τεκμήριον, μαρτύριον*) vermag ich dieses zu entnehmen, als aus dem Umstande dafs . .' (*ὅτι δέ*). Vgl. *ἀπεικάζειν* (c. 32 16).

6. *τὸ ἰσχυρότατον*, die Perser und insbesondere die Leibgarde des Mardonios (c. 58).

10. *ὄνειδός τε καὶ ἀτιμίην*: s. VII 231 2.

11. Die Reihenfolge entspricht dem Grade des bewiesenen Heldenmuthes; weshalb unten nur Poseidonios mit Aristodemos verglichen wird.

12. *ὁ Σπαρτιήτης*: soll damit gesagt sein dafs nur Amompharetos Spartiate war, die beiden Anderen aber Lakedaemonier od. Perioeken? Wahrscheinlicher schrieb H. *ὁ Πιτανήτης* als Rückweis auf c. 53 8. Denn in jenem Falle hätte doch die Wahl nicht zwischen dem Spartiaten Aristodemos und dem Lakedaemonier Poseidonios schwanken können. — *ὅς*: zu I 56 5.

15. *λυσσέοντα*: vgl. VII 223 21.

βουλόμενον ἀποθνήσκειν ἄνδρα γενέσθαι ἀγαθόν· τοσούτῳ τοῦτον εἶναι ἀμείνω. ἀλλὰ ταῦτα μὲν καὶ φθόνῳ ἂν εἴποιεν· οὗτοι δὲ τοὺς κατέλεξα πάντες, πλὴν Ἀριστοδήμου, τῶν ἀποθανόντων ἐν ταύτῃ τῇ μάχῃ τίμιοι ἐγένοντο. Ἀριστόδημος δὲ βουλόμενος ἀποθανεῖν διὰ τὴν προειρημένην αἰτίην οὐκ ἐτιμήθη.

72 Οὗτοι μὲν τῶν ἐν Πλαταιῇσι οὐνομαστότατοι ἐγένοντο. Καλλικράτης γὰρ ἔξω τῆς μάχης ἀπέθανε, ἐλθὼν ἀνὴρ κάλλιστος ἐς τὸ στρατόπεδον τῶν τότε Ἑλλήνων, οὐ μοῦνον αὐτῶν Λακεδαιμονίων ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων· ὃς, ἐπειδὴ ἐσφαγιάζετο Παυσανίης, κατήμενος ἐν τῇ τάξι ἐτρωματίσθη τοξεύματι τὰ πλευρά. καὶ δὴ οἱ μὲν ἐμάχοντο, ὁ δ' ἐξενηνειγμένος ἐδυσθανάτεέ τε καὶ ἔλεγε πρὸς Ἀείμνηστον ἄνδρα Πλαταιέα οὐ μέλειν οἱ ὅτι πρὸ τῆς Ἑλλάδος ἀποθνήσκει, ἀλλ' ὅτι οὐκ ἐχρήσατο τῇ χειρὶ καὶ ὅτι οὐδέν ἐστί οἱ ἀποδεδεγμένον ἔργον ἑωυτοῦ ἄξιον προθυμευμένου ἀποδέξασθαι.

73 Ἀθηναίων δὲ λέγεται εὐδοκιμῆσαι Σωφάνης ὁ Εὐτυχίδεω, ἐὼν δήμιου Δεκελειῆθεν, Δεκελέων δὲ τῶν κοτὲ

18. *καὶ φθόνῳ*, 'hierbei mag auch wohl Mifsgunst im Spiel gewesen sein'.

20. *τίμιοι ἐγένοντο*: sie erhielten ein ehrenvolles Begräbnifs und eine Grabstele, und wurden auch wohl von Staatswegen als Heroen durch Todtenopfer gefeiert. Vgl. zu III 55 12. V 67 25.

72. 3. Vgl. Il. *β* 673 *Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν Τῶν ἄλλων Δαναῶν.*

6. *κατήμενος*: zu c. 56 3.

8. *Ἀείμνηστος*: er wird den Verwundeten in sein Haus aufgenommen haben. Ein daher entsprungenes näheres Verhältnifs zu Sparta bekundete er durch den Namen seines Sohnes *Λάκων* (Thuk. III 52; vgl. zu VII 27 1). Die La. *Ἀρίμνηστος* beruht auf einer Verwechslung mit dem Anführer des plataeischen Kontingentes (Plut. Arist. 11. Pans. IX 4 2), das doch im linken Centrum neben den Athenern stand (c. 28) und focht (Plut. Arist. 20), also weit ab von dem spart. Heere.

10. *ἐχρήσατο τῇ χειρί*: zu III 78 22. VIII 89 2.

73. 2. Zu dem formelhaften *ἐὼν δήμου Δεκελειῆθεν* s. zu V 92*β* 7. — *Δεκελέων*, von *Δεκελεύς*, gebildet von *Δέκελος* (8); daneben auch *Δεκελειεύς* (u. *-εεύς*) von *Δεκέλεια*. Strenger wäre *Δεκελείης δέ* 'und zwar aus demjenigen D.' (zu I 67 5); aber aus Rücksicht auf den Inhalt der Apposition ist das Demotikon vorgezogen. Umgekehrt c. 92 *ἀνδρὸς Ἀπολλωνιήτεω Ἀπολλωνίης δὲ τῆς*.. Ver-

ἐργασαμένων ἔργον χρήσιμον ἐς τὸν πάντα χρόνον, ὡς αὐτοὶ Ἀθηναῖοι λέγουσι. ὡς γὰρ δὴ τὸ πάλαι κατ' Ἑλένης κομιδὴν Τυνδαρίδαι ἐσέβαλον ἐς γῆν τὴν Ἀττικὴν σὺν στρατοῦ πλήθεϊ καὶ ἀνίστασαν τοὺς δήμους, οὐκ εἰδότες ἵνα ὑπεξεκέετο ἡ Ἑλένη, τότε λέγουσι τοὺς Δεκελέας, οἳ δὲ αὐτὸν Δέκελον ἀχθόμενόν τε τῇ Θησέος ὕβρι καὶ δειμαίνοντα περὶ πάσῃ τῇ Ἀθηναίων χώρῃ, ἐξηγησάμενόν σφι τὸ πᾶν πρῆγμα κατηγήσασθαι ἐπὶ τὰς Ἀφίδνας, τὰς δὴ Τιτακὸς ἐὼν αὐτόχθων κα-

gleichbar ist auch VII 80 *τὰ νησιωτικὰ .. νήσων δέ*. — Die Anknüpfung dieser Episode aus der att. Urzeit ist übrigens lose genug. Vgl. VI 121 4 ff.

3. *χρήσιμον*, zuerst dem ganzen Lande (9), später wenigstens ihnen selber. — *ἐς τὸν πάντα χρόνον* 'für immer'. Zu V 9 15.

4 ff. Diese attische Sage, die sich aus einer Tempellegende von der Gründung des Dioskuren-dienstes in Attika (als der s. g. *Ἄνακες*) herausgebildet zu haben scheint, liest man vollständiger bei Plut. Thes. 31 ff. Dind. IV 63. Paus. I 41 4; von Dichtern haben sie Alkman (Fr. 12), Stesichoros (Paus. II 22 6), Pindaros (Paus. I 41 5), Künstler schon auf dem Kypselos-kasten (Paus. V 19 3. Din Chrys. p. 163) behandelt. Theseus raubt mit seinem Genossen Peirithoos die jugendliche Helene, während sie am Feste der *Ἄρτεμις Ὀρθία* im Reigen tanzt, und da sie um den Besitz des Kindes losen, fällt sie jenem zu. Der bringt sie nach der Bergfeste Aphidnae, wo seine Mutter Aethra das Mädchen bis zur Mannbarkeit behüten soll. Während er aber mit Peirithoos auszieht ins Land der Molosser die Persephone zu entführen, kommen die Dioskuren nach Attika um ihre Schwester heimzuholen (*κατ' Ἑλένης κομιδήν*), was ihnen am Ende auch durch verrätherische Mithilfe gelingt.

6. *τοὺς δήμους*: zu V 69 10. In späterer Sagenform belagern sie Athen selber.

8. *Δέκελος*, der *ἥρως ἐπώνυμος* des Demos. Sein Name (von *δεικνύναι*, *index*) war für die Sage Anlafs gerade ihn oder seine Demoten als die Verräther einzuführen. Anders Plut. a. O. *φράζει δὲ αὐτοῖς Ἀκάδημος ἡσθημένος ᾧ δή τινι τρόπῳ τὴν ἐν Ἀφίδναις κρύψιν αὐτῆς. ὅθεν ἐκείνῳ τε τιμαὶ ζῶντι παρὰ τῶν Τυνδαριδῶν ἐγένοντο καὶ πολλάκις ὕστερον εἰς τὴν Ἀττικὴν ἐμβαλόντες Λακεδαιμόνιοι καὶ πᾶσαν ὁμοῦ τὴν χώραν τέμνοντες τῆς Ἀκαδημίας ἀπείχοντο διὰ τὸν Ἀκάδημον*. So mufsten diejenigen erzählen, die Athen selber belagert werden liefsen.

9. *ὕβρι*: er hafste in Theseus den Synoekisten. Plut. a. O. *ἀρχὴν καὶ βασιλείαν ἀφῃρημένον (Θησέα) ἑκάστου τῶν κατὰ δῆμον εὐπατριδῶν εἰς ἓν ἄστυ συνειρξαντα πάντας ὑπηκόοις χρῆσθαι καὶ δούλοις*, zu denen auch Dekelos gehörte. — *δειμαίνοντα*, von Seiten der Tyadariden.

11. *Ἀφίδναι*, auch -*α*, früher eine der kekropidischen Zwölfstädte (Strabo 396), später Demos der aeantidischen Phyle, lag wahrscheinlich in der Diakria in einer schwer zugänglichen Gegend, und

ταπροδιδοῖ Τυνδαρίδῃσι. τοῖσι δὲ Δεκελεῦσι ἐν Σπάρτῃ ἀπὸ τούτου τοῦ ἔργου ἀτελείη τε καὶ προεδρίη διατελέει ἐς τόδε αἰεὶ ἔτι ἐοῦσα, οὕτω ὥστε καὶ ἐς τὸν πόλεμον τὸν ὕστερον πολλοῖσι ἔτεσι τούτων γενόμενον Ἀθηναίοισί τε καὶ Πελοποννησίοισι, σινομένων τὴν ἄλλην Ἀττικὴν Λακεδαιμονίων, Δεκελέης ἀπέχεσθαι. τούτου τοῦ δήμου ἐὼν ὁ Σωφάνης, καὶ ἀριστεύσας τότε Ἀθηναίων, δικαίους λόγους λεγομένους ἔχει, τὸν μὲν ὡς ἐκ τοῦ ζωστῆρος τοῦ θώρηκος ἐφόρεε χαλκέῃ ἁλύσι δεδεμένην ἄγκυραν σιδηρέην, τὴν ὅκως πελάσειε ἀπικνεόμενος τοῖσι πολεμίοισι βαλλέσκετο, ἵνα δή μιν οἱ πολέμιοι ἐκπίπτοντες ἐκ τῆς τάξιος μετακινῆσαι μὴ δυναίατο· γινομένης δὲ φυγῆς τῶν ἐναντίων δέδοκτο τὴν

wird auch noch von Demosth. pro cor. 38 unter den festen Punkten des Landes aufgeführt. Auch in Lakonien gab es einen Ort dieses Namens, von wo die Dioskuren die Töchter des Leukippos, Hilaera und Phoebe, entführt hatten (Apollod. III 10 3. Steph. B. s. v.). — *Τιτακός*, der Eponymos des Demos *Τιτακίδαι*, der nicht weit von Aphidnae gelegen haben mufs. — *αὐτόχθων*: als solche wurden wohl alle jene hundert demotische Heroen angesehen; hier aber verräth die Bezeichnung eine seltsame Zeitverschiebung.

13. *ἀτελείη*, Freiheit von den Abgaben denen der Fremde als solcher unterworfen war; *προεδρίη*, berechtigte Theilnahme und Ehrensitz bei öffentlichen Spielen; s. zu I 54 6. Beides sind die gewöhnlichen offiziellen Auszeichnungen, womit sich Gemeinwesen ehrten und belohnten. In diesem Falle war namentlich die Atelie kaum mehr als eine ehrenvolle Formel, da die Dekeleier wohl schwerlich in Sparta Verkehr trieben.

14 ff. *ἐς τὸν πόλεμον* 'bis zur Zeit des Krieges', womit nicht eine abschliefsende Gränze sondern, wie in dem häufigen *ἐς τόδε* (*hodieque*), eine Fortdauer bis in die Gegenwart des Vf.'s. bezeichnet werden soll. Der pelop. Krieg ist ähnlich VII 137 4 angedeutet. — *σινομένων*, während der wiederholten Verwüstungszüge unter König Archidamos (431 - 428), Kleomenes (427), Agis (425), von denen der erste besonders eben die Umgegend von Dekelein betraf (Thuk. II 23 *ἅραντες ἐκ τῶν Ἀχαρνῶν ἐδῄουν τῶν δήμων τινὰς ἄλλους τῶν μεταξὺ Πάρνηθος καὶ Βριλησσοῦ ὄρους*). Dafs Dekeleia wirklich und weil die Lakonen an die Wahrheit der Lokalsage glaubten verschont blieb, ist zu bezweifeln kein Grund. Die feste Besetzung des Ortes (413) erlebte der Autor nicht.

74. 3. *δικαίους - ἔχει* 'es ist über Sophanes eine zwiefache Sage in Umlauf'. Vgl. zu V 66 4.

4. *ἐκ - ἐφόρεε*: vgl. IV 10 17.

7. So oft er die zurückweichenden Feinde einholte und sie zu neuem Widerstande sich anschickten, legte er sich ihnen gegenüber gleichsam vor Anker, entschlossen nur entweder vorwärts zu gehen oder seinen Stand zu behaupten, nie aber zurückzuweichen oder sich zurückdrängen zu lassen.

8. *δέδοκτο* 'war es seine Absicht',

αγκυραν ἀναλαβόντα οὕτω διώκειν. οὗτος μὲν οὕτω λέγεται, ὁ δ' ἕτερος τῶν λόγων τῷ πρότερον λεχθέντι ἀμφισβατέων λέγεται, ὡς ἐπ' ἀσπίδος αἰεὶ περιθεούσης καὶ οὐδαμὰ ἀτρεμιζούσης ἐφόρεε ἐπίσημον ἄγκυραν, καὶ οὐκ ἐκ τοῦ θώρηκος δεδεμένην σιδηρέην. ἔστι δὲ καὶ ἕτερον Σωφάνεϊ λαμπρὸν ἔργον ἐξεργασμένον, ὅτε περικατημένων Ἀθηναίων Αἴγιναν Εὐρυβάτην τὸν Ἀργεῖον, ἄνδρα πεντάεθλον, ἐκ προκλήσιος ἐφόνευσε. αὐτὸν δὲ Σωφάνεα χρόνῳ ὕστερον τούτων κατέλαβε ἄνδρα γενόμενον ἀγαθόν, Ἀθηναίων στρατηγέοντα ἅμα Λεάγρῳ τῷ Γλαύκωνος, ἀποθανεῖν ὑπ' Ἠδωνῶν ἐν Λάτῳ περὶ τῶν μετάλλων τῶν χρυσέων μαχόμενον.

bei dieser sonderbaren Vorrichtung; zu IV 68 20. Dies wie das andere Mährchen mag seinen Ursprung in Skolien haben, die zu Ehren des volksbeliebten *μαραθωνομάχης* gesungen wurdeu.

75. 2 ff. *ὅτε - ἐφόνευσε*, Exegese zu *ἔργον*, *cum - interemit*. Vgl. VII 144 2. Il. *ϑ* 229 *πῇ ἔβαν εὐχωλαί, ὅτε δή φαμεν εἶναι ἄριστοι*; — *περικατημένων Ἀθ. Αἴγιναν*: die Sache VI 92, wo auch über *ἄνδρα πεντάεθλον*. Paus. I 29 5 setzt zu *Νεμείων ἀνῃρημένον νίκην*.

5. *κατέλαβε*: zu III 65 4. — *ἄνδρα γεν. ἀγαθόν*: zu V 2 2.

7 f. Leagros gehörte einer namhaften Familie an. Sein Sohn Glaukon befehligte in der Seeschlacht bei Sybota (Thuk. I 51). Seine Enkelin war die Gattin des bekannten Kallias (Daduchos). — *Λάτος*, auch *Λάτον*, eine fruchtbare gold- und waldreiche Gegend Thrakiens, gegenüber der Insel Thasos, westl. vom Nestos, jenseits der sapaeischen Pässe; die thrak. Einwohner hiefsen *Λατηνοί*. Strab. 331, 36 *παρὰ δὲ τὴν παραλίαν τοῦ Στρυμόνος καὶ Λατηνῶν πόλις Νεάπολις καὶ αὐτὸ τὸ Λάτον, εὔκαρπα πεδία καὶ λίμνην καὶ ποταμοὺς καὶ ναυπήγια καὶ χρυσεῖα λυσιτελῆ ἔχον*, ἀφ' οὗ καὶ παροιμιάζονται „*Λάτον ἀγαθῶν*" ὡς καὶ „*ἀγαθῶν ἀγαθῖδες.*" Seitdem die Thasier sich derselben bemächtigt (Eustath. zu Dionys. 517), ward auch das Küstengebiet diesseits der Pässe dazu gerechnet, und, wie es scheint, hier ein Hafenort *Λάτος* angelegt (Skylax 67. Plin. IV 42); während der Hauptort im Binnenlande *Κρηνίδες* (später *Φίλιπποι*), das Bergwerk *Ἄσυλα* hiefs (Appian. b. c. IV 105). — Von der Niederlage Thuk. I 100 *ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους* (da die Thasier von Athen abfielen, um 467) *ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδοὺς νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν ἃς εἶχον Ἠδωνοί, προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν διεφθάρησαν ἐν Δραβήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον.* IV 102 *ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον* (nach dem Tode des Aristagoras, im J. 497; also im J. 465) *ἐποίκους μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλό-*

76 Ὡς δὲ τοῖσι Ἕλλησι ἐν Πλαταιῇσι κατέστρωντο οἱ βάρβαροι, ἐνθαῦτά σφι ἐπῆλθε γυνὴ αὐτόμολος, ἣ ἐπειδὴ ἔμαθε ἀπολωλότας τοὺς Πέρσας καὶ νικέοντας τοὺς Ἕλληνας, ἐοῦσα παλλακὴ Φαρανδάτεος τοῦ Τεάσπιος ἀνδρὸς Πέρσεω, κοσμησαμένη χρυσῷ πολλῷ καὶ αὐτὴ καὶ ἀμφίπολοι καὶ ἐσθῆτι τῇ καλλίστῃ τῶν παρεουσέων, καταβᾶσα ἐκ τῆς ἁρμαμάξης ἐχώρεε ἐς τοὺς Λακεδαιμονίους ἔτι ἐν τῇσι φονῇσι ἐόντας, ὁρέουσα δὲ πάντα ἐκεῖνα διέποντα Παυσανίην, πρότερόν τε τὸ οὔνομα ἐξεπισταμένη καὶ τὴν πάτρην ὥστε πολλάκις ἀκούσασα, ἔγνω τε τὸν Παυσανίην καὶ λαβομένη τῶν γουνάτων ἔλεγε τάδε. „ὦ βασιλεῦ Σπάρτης, ῥῦσαί με τὴν ἱκέτιν αἰχμαλώτου δουλοσύνης. σὺ γὰρ καὶ ἐς τόδε ὤνησας, τούσδε ἀπολέσας τοὺς οὔτε δαιμόνων οὔτε

μενον πέμψαντες (ἐπείρασαν κατοικίσαι Ἀμφίπολιν), οἳ διεφθάρησαν ἐν Ἀραβήσκῳ ὑπὸ Θρᾳκῶν. Aehnlich Diod. XI 70. XII 68. Paus. I 29 4. Drabeskos aber lag nordostwärts auf der Strafse, die von Myrkinos und dem Strymon nach Philippoi und durch die Pässe des Symbola-geb. nach der Stadt Datos hinabführte, im Gebiete der *Δόβηρες* (VII 113 2). Der Marsch der athen. Ansiedler stand gewifs in Zusammenhang mit dem Kampfe, den Kimon um dieselbe Zeit gegen die aufständischen Thasier führte; wie dieser ihre festländischen Küstenplätze wegnahm, so sollten jene binnenwärts Datos besetzen, das von der Küste her schwierig zu erreichen war. Aber bevor sie dorthin gelangten, erlagen sie der thrak. Uebermacht. H. aber hat das Ziel der Unternehmung mit dem Orte der Schlacht verwechselt (und nach ihm Isokr. de pace 86). Reichten doch auch die Sitze der Edonen, die als die Nächstbetheiligten bei dem Angriffe die Hauptrolle spielten, nicht so weit nach Osten (V 11 7. VII 114 3).

Pausanias und die gefangene Knë[…]rin. Die Mantineer und Eleer. Pausanias und der Aeginete Lampon (c. 76—79).

76. 4. *Φαρανδάτεος*: schon VII 79 6 erwähnt. Er war ein Neffe des Dareios, s. die Tafel zu VII 11 8.

5 f. Die kostbare Ausstattung würde einen Anderen als Pausanias zu einem weniger edlen Benehmen veranlafst haben (Paus. III 4 9).

7. *ἁρμαμάξης*: zu VII 41 3.

11. *ἔγνω*: sie schlofs dafs der Führer des spart. Heeres kein Anderer als der ihr schon von Vaterhause her (20) bekannte Pausanias sein müsse.

12. *βασιλεῦ*: so mochte ihn die Fremde immerhin anreden. S. aber c. 10.

13. *αἰχμαλώτου δουλοσύνης* vor ‘Kriegsgefangenschaft’. *ῥύεσθαι* mit dem Genitiv nach I 86 12; mit *ἐκ* V 49 12. IX 90 16. — *ἐς τόδε*: ‘bis hierher, soweit’. Er solle sie nun auch vor weiterem Unglück bewahren.

14. *δαιμόνων*: VIII 109 13 *ἥρωες*.

θεῶν ὅπιν ἔχοντας. εἰμὶ δὲ γένος μὲν Κῴη, θυγάτηρ δὲ Ἡγητορίδεω τοῦ Ἀνταγόρεω. βίῃ δέ με λαβὼν ἐν Κῷ εἶχε ὁ Πέρσης.“ ὁ δὲ ἀμείβεται τοισίδε. „γύναι, θάρσεε καὶ ὡς ἱκέτις, καὶ εἰ δὴ πρὸς τούτῳ τυγχάνεις ἀληθέα λέγουσα καὶ εἶς θυγάτηρ Ἡγητορίδεω τοῦ Κῴου, ὃς ἐμοὶ ξεῖνος μάλιστα τυγχάνει ἐὼν τῶν περὶ ἐκείνους τοὺς χώρους οἰκημένων.“ ταῦτα εἴπας τότε μὲν ἐπέτρεψε τῶν ἐφόρων τοῖσι παρεοῦσι, ὕστερον δὲ ἀπέπεμψε ἐς Αἴγιναν, ἐς τὴν αὐτὴ ἤθελε.

Μετὰ δὲ τὴν ἄπιξιν τῆς γυναικός, αὐτίκα μετὰ ταῦ- 77
τα ἀπίκοντο Μαντινέες ἐπ᾽ ἐξεργασμένοισι. μαθόντες δὲ ὅτι ὕστεροι ἥκουσι τῆς συμβολῆς, συμφορὴν ἐποιεῦντο μεγάλην, ἄξιοί τε ἔφασαν εἶναι σφέας ζημιῶσαι. πυνθανόμενοι δὲ τοὺς Μήδους τοὺς μετ᾽ Ἀρταβάζου φεύγοντας, τούτους ἐδίωκον μέχρι Θεσσαλίης· Λακεδαιμόνιοι δὲ οὐκ ἐῶν φεύγοντας διώκειν. οἱ δὲ ἀναχωρήσαντες ἐς τὴν ἑωυτῶν τοὺς ἡγεμόνας τῆς στρατιῆς ἐδίωξαν ἐκ τῆς γῆς. μετὰ δὲ Μαντινέας ἦκον Ἠλεῖοι, καὶ ὡσαύτως οἱ Ἠλεῖοι τοῖσι Μαντινεῦσι συμφορὴν

Vgl. Aeschylos zu VIII 109 16.

15. Der Vf. wird die Familie persönlich gekannt haben. Vgl. zu VII 163 9.

16. Die Insel scheint mehrere Jahre vorher einen Befreiungsversuch gemacht zu haben, der mit der Auswanderung des bisherigen Tyrannen Kadmos zusammenbing, aber zur Folge hatte dafs sie unter die Herrschsft der kariseben Artemisia gestellt ward (zu VII 163 9).

17. Für diese und die anderen Aeufserungen und Handlungen des Pausanias s. zu V 32 8.

22. *τῶν ἐφόρων*, deren zwei die Könige ins Feld zu begleiten pflegten. Xen. resp. Lac. XIII 5 *πάρεισι δὲ καὶ τῶν ἐφόρων δύο οἳ πολυπραγμονοῦσι μὲν οὐδέν, ἢν μὴ ὁ βασιλεὺς προσκαλῇ, ὁρῶντες δὲ ὅ τι ποιεῖ ἕκαστος πάντας σωφρονίζουσιν ὡς τὸ εἰκός.*

23. *ἤθελε*, se. *ἀποπέμπεσθαι*. Vgl. VIII 102 6 u. zu VII 8 5.

77. *μετὰ ταῦτα*: vgl. zu VI 84 5. Die Verknüpfung der beiden Thatsachen ist sehwerlich mehr als eine rhetorische. Vgl. zu III 156 1.

2. *ἀπίκοντο*, aus dem Peloponnes. — *ἐπ᾽ ἐξεργασμένοισι*: zu IV 164 11.

3. *ὕστεροι – συμβολῆς*: auch VI 120 4.

4. *ἄξιοι – ζημιῶσαι* ‘sie verdienten dafs man sie bestrafe’. Anders Liv. XXX 30 *forsitan non indigni simus qui nobismet ipsi* (indirekt *αὐτοὶ ἑωυτοῖς*) *multam irrogemus.*

5. *τοὺς Μήδους* steht auch hier allgemein für *Πέρσας*, nicht für die spezielle Völkersehaft; s. VIII 129 16.

6. *ἐδίωκον, persequi parabant.*

ποιησάμενοι ἀπαλλάσσοντο· ἀπελθόντες δὲ καὶ οὗτοι τοὺς ἡγεμόνας ἐδίωξαν. τὰ κατὰ Μαντινέας μὲν καὶ Ἠλείους τοσαῦτα.

78 Ἐν δὲ Πλαταιῇσι ἐν τῷ στρατοπέδῳ τῶν Αἰγινητέων ἦν Λάμπων ὁ Πυθέω, Αἰγινητέων τὰ πρῶτα, ὃς ἀνοσιώτατον ἔχων λόγον ἔιτο πρὸς Παυσανίην, ἀπικόμενος δὲ σπουδῇ ἔλεγε τάδε. „ὦ παῖ Κλεομβρότου, ἔργον ἔργασταί τοι ὑπερφυὲς μεγαθός τε καὶ κάλλος, καί τοι θεὸς παρέδωκε ῥυσάμενον τὴν Ἑλλάδα κλέος καταθέσθαι μέγιστον Ἑλλήνων τῶν ἡμεῖς ἴδμεν. σὺ δὲ καὶ τὰ λοιπὰ τὰ ἐπὶ τούτοισι ποίησον, ὅκως λόγος τέ σε ἔχῃ ἔτι μέζων καί τις ὕστερον φυλάσσηται τῶν βαρβάρων μὴ ὑπάρχειν ἔργα ἀτάσθαλα ποιέων ἐς τοὺς Ἕλληνας. Λεωνίδεω γὰρ ἀποθανόντος ἐν Θερμοπύλῃσι Μαρδόνιός τε καὶ Ξέρξης ἀποταμόντες τὴν κεφαλὴν ἀνεσταύρωσαν· τῷ σὺ τὴν ὁμοίην ἀποδιδοὺς ἔπαινον ἕξεις πρῶτα μὲν ὑπὸ πάντων Σπαρτιητέων, αὖτις δὲ καὶ πρὸς τῶν ἄλλων Ἑλλήνων· Μαρδόνιον γὰρ ἀνασκολοπίσας

12. Denoch wufsten weaigsteas die Eleer, wahrscheinlich durch ihre freundlichen Beziehuagea zu Sparta (vgl. zu IV 148 16), das die Ioschrifteo setzen liefs (Thuk. I 132), es dahin zu bringen dafs ihr Nume īo die offiziellen Listeu der am Befreiungskriege Betheiligtea sowohl ia Delphi ols in Olympia aufgeaommen ward (zu c. 81 3 u. 6).

78. 2. Lampoa war ohne Zweifel ein Verwandter uod Zeitgenosse desjenigen Lampoa, dea Pindar iu drei Siegesliedera aaf seiae Söhoe Pytheas und Phylakidas wiederholt rühmend erwähnt (Nem. V 4. Isthm. IV 21. V 3. 66), des Sohnes des Kleooikos (Isthm. IV 55. V 16), sowie des hei Skiathos gefangeoea und hei Salamis hefreiteo Pytheas des Sohnes des Ischenoos (VII 101. VIII 92). Das ganze Haus, die Ψαλυχίδαι (Piad. Isthm. V 63), eines der reichsten und edelstea der Iosel, zeichnete sich durch Leistungen in der Gymnastik und Athlethik aus. — τὰ πρῶτα: zu VI 100 13.

3. ἀνοσιώτατον, weil er die Mifshandluog eiaes Todtea verlaagte (c. 79 6).

4. σπουδῇ geh. zu ἀπικόμενος.

5. μέγαθος - κάλλος, sonst nur voa körperlichea Vorzügea (zu I 112 2).

6. παρέδωκε: zu VI 103 9. — καταθέσθαι: zu VI 41 16.

8. τὰ ἐπὶ τούτοισι, was aufser dem Gethaaen zur Ergäozung aod Vollendung aoch zu thun ist. Zu ἐπί vgl. VII 236 8.

9. τις: zu VI 9 14.

12. S. VII 238.

13. τὴν ὁμοίην: za IV 119 14. — ἔπαινον ἕξεις = ἐπαινεθήσεαι. Daher ὑπὸ π. Σπ.

τετιμωρήσεαι ἐς πάτριων τὸν σὸν Λεωνίδεα.“ ὁ μὲν δο- 79
κέων χαρίζεσθαι ἔλεγε τάδε, ὁ δ' ἀνταμείβετο τοισίδε.
„ὦ ξεῖνε Αἰγινῆτα, τὸ μὲν εὐνοέειν τε καὶ προορᾶν ἄγα-
μαί σευ, γνώμης μέντοι ἡμάρτηκας χρηστῆς· ἐξαείρας
γάρ με ὕψοῦ καὶ τὴν πάτρην καὶ τὸ ἔργον, ἐς τὸ μη- 5
δὲν κατέβαλες παραινέων νεκρῷ λυμαίνεσθαι, καὶ ἢν
ταῦτα ποιέω, φὰς ἄμεινόν με ἀκούσεσθαι. τὰ πρέπει
μᾶλλον βαρβάροισι ποιέειν ἢπερ Ἕλλησι· καὶ ἐκείνοισι
δὲ ἐπιφθονέομεν. ἐγὼ δ' ὧν τούτου εἵνεκεν μήτε Αἰγι-
νήτῃσι ἄδοιμι μήτε τοῖσι ταῦτα ἀρέσκεται· ἀποχρᾷ τέ 10
μοι Σπαρτιήτῃσι ἀρεσκόμενον ὅσια μὲν ποιέειν, ὅσια
δὲ καὶ λέγειν. Λεωνίδῃ δέ, τῷ με κελεύεις τιμωρῆ-
σαι, φημὶ μεγάλως τετιμωρῆσθαι, ψυχῇσί τε τῇσι τῶν-
δε ἀναριθμήτοισι τετίμηται αὐτός τε καὶ οἱ ἄλλοι οἱ
ἐν Θερμοπύλῃσι τελευτήσαντες. σὺ μέντοι ἔτι ἔχων λό- 15
γον τοιόνδε μήτε προσέλθῃς ἔμοιγε μήτε συμβουλεύσῃς,
χάριν τε ἴσθι ἐὼν ἀπαθής.“

Ὁ μὲν ταῦτα ἀκούσας ἀπαλλάσσετο, Παυσανίης δὲ 80
κήρυγμα ποιησάμενος μηδένα ἅπτεσθαι τῆς λείης, συγ-
κομίζειν ἐκέλευε τοὺς εἵλωτας τὰ χρήματα. οἱ δὲ ἀνὰ
τὸ στρατόπεδον σκιδνάμενοι εὗρισκον σκηνὰς κατεσκευ-
ασμένας χρυσῷ καὶ ἀργύρῳ, κλίνας τε ἐπιχρύσους καὶ 5
ἐπαργύρους, κρητῆράς τε χρυσέους καὶ φιάλας τε καὶ
ἄλλα ἐκπώματα· σάκκους τε ἐπ' ἁμαξέων εὗρισκον, ἐν
τοῖσι λέβητες ἐφαίνοντο ἐνεόντες χρύσεοί τε καὶ ἀργύ-
ρεοι· ἀπό τε τῶν κειμένων νεκρῶν ἐσκύλευον ψέλιά τε

16. *πάτρων*: s. zu c. 10 6.

79. 3. Vgl. VIII 144 20.

5. *τὴν πάτρην*: davon enthielt die Ansprache nichts, als etwa die Anrede *ὦ παῖ Κλεομβρότου*. — *καὶ τὸ ἔργον*: Valla las *κατὰ τὸ ἔργον* (*τοῦτο*; *ob haec gesta*). — *τὸ μηδέν*: zu VII 14 6.

7. *τά*, wie II 22 4.

9. *τούτου εἵνεκεν* 'soweit od. wenn es hiervon abhängt', näml. zu gefallen; 'auf diese Weise'.

15. *ἔτι*, *posthac*, *τοῦ λοιποῦ* (VIII 143 12). Aehnlich c. 58 4 u. 19.

Beute. Weihgaben. Gräber (c. 80—85).

80. 6. S. auch VII 119 11ff.

9. *νεκρῶν*: der s. g. Zehntausend und des Leibregimentes, die hier gefallen waren (VII 83. VIII 113. IX 63).

καὶ στρεπτοὺς καὶ τοὺς ἀκινάκας ἐόντας χρυσέους, ἐπεὶ ἐσθῆτός γε ποικίλης λόγος ἐγίνετο οὐδὲ εἷς. ἐνθαῦτα πολλὰ μὲν κλέπτοντες ἐπώλεον πρὸς τοὺς Αἰγινήτας οἱ εἴλωτες, πολλὰ δὲ καὶ ἀπεδείκνυσαν, ὅσα αὐτῶν οὐκ οἷά τε ἦν κρύψαι· ὥστε Αἰγινήτῃσι οἱ μεγάλοι πλοῦτοι ἀρχὴν ἐνθεῦτεν ἐγένοντο, οἳ τὸν χρυσὸν ἅτε ἐόντα
81 χαλκὸν δῆθεν παρὰ τῶν εἰλωτέων ὠνέοντο. συμφορήσαντες δὲ τὰ χρήματα καὶ δεκάτην ἐξελόντες τῷ ἐν Δελφοῖσι θεῷ, ἀπ' ἧς ὁ τρίπους ὁ χρύσεος ἀνετέθη ὁ

10. *τοὺς ἀκινάκας*: zu VII 54 11. Der Artikel, weil es die an Persern schon bekannte Waffe war. Ebenso III 118 12. IX 107 10.

13. *ἀπεδείκνυσαν* 'lieferten sie ab'. Vgl. VIII 35 8.

14. *οἷά τε*: zu V 20 6.

15. *ἀρχὴν-ἐγένοντο*: ein leeres Volksgerede, das zu des Vf.'s Zeit um so leichter sich Geltung verschaffte, als der schwunghafte und einträgliche Handel, den die Insel im 7. u. 6. Jahrh. nach allen Weltgegenden getrieben (s. II 178 15. IV 152 14. VII 147 12) seit dem maritimen Aufkommen Athens, namentlich was den Grofsverkehr der Insel selbst und ihres Emporiums betrifft, gelähmt und, nachdem 431 die dorischen Einwohner gänzlich ausgetrieben worden, nur noch ein Gegenstand der Erinnerung und übertriebener Erzählungen war. Wie bedeutend dieser Verkehr insbesondere mit dem Oriente gewesen, lehrt schon der Umstand dafs das babylonische Mafs- und Münzsystem unter dem Namen des aeginaeischen in älterer Zeit das im hellen. Handel allgemein übliche war. — Ueber die Tendenz der Bemerkung s. auch zu VI 87 3. 91 6.

81. 2. *δεκάτην*, des Gesammtwerthes, nicht der Beute selber.

3 f. Die historische Bedeutung, der metallische Werth und der hervorragende Standpunkt unmittelbar vor dem Tempel (5) zeichnete diesen Dreifufs vor den vielen anderen in Delphi geweihten derartig aus, dafs er, von dem der Pythia abgesehen, von den Autoren schlechthin als 'der delphische Dreifufs' (*ὁ ἐν Δελφοῖς τρίπους*) benannt und verstanden wurde. Pausanias hatte ihn anfertigen und eigenmächtig mit dem Distichon *Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων, Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε* versehen lassen. Dies letztere liessen die Spartiaten entfernen und dafür die Namen sämmtlicher an den Freiheitskämpfen bei Salamis und Plataeae (Demosth. in Neaer. 97) und an der Gabe betheiligten Staaten (*ὅσαι συγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα*, Thuk. I 132. III 57. Her. VIII 82 5) darauf schreiben. Ob der Dreifufs als ein in seinen Theilen (Kessel und Gestell) abgeschlossenes, auf den Schlangenhälsen als Postament ruhendes Werk vorzustellen, oder ob die dreifachen erzenen Schlangenhälse selber das eigentliche Dreifufsgestell (*ῥάβδοι*) bildeten, auf welchem der den goldenen Dreifufskessel (*τρίπους* se. *λέβης*) umfassende und haltende Kranz (*στεφάνη*) zu liegen kam, lassen die Quellen nicht erkennen. Doch scheint für letztere Auffassung aufser inneren Gründen auch Paus.

ἐπὶ τοῦ τριχαρήνου ὄφιος τοῦ χαλκέου ἐπεστεὼς ἄγχι-

X 13 9 (*ὅσον μὲν δὴ χαλκὸς ἦν τοῦ ἀναθήματος σῶον καὶ ἐς ἐμὲ ἔτι ἦν· οὐ μέντοι κατὰ τὰ αὐτὰ καὶ τὸν χρυσὸν οἱ Φωκέων ὑπελίποντο ἡγεμόνες*) zu zeugen. Den seit dem phokischen Krieg übrig gebliebenen ehernen Untertheil, der auch so noch immer 'der delphische Dreifufs' hiefs, liefs Kaiser Konstantin nach Konstantinopel versetzen auf den Hippodrom und an Stelle des Kessels mit einer Statue des Apollon versehen. Unter einem seiner Nachfolger (Valeas oder Theodosius) ward er daselbst mit einer Wasserleitung in Verbindung gesetzt und in eine dreimündige Fontäne verwandelt. An diesem Orte blieb er bis jetzt, nur dafs die Schlangenhälse im Laufe des letzten Jahrhunderts abgeschlagen und bis auf einen jüngst gefundenen Oberkiefer verloren gingen und mehr als die Hälfte des Rumpfes durch den erhöhten Boden des Platzes (des h. Atmeidan) verdeckt war. Seitdem man 1856 auch diesen unteren Theil sammt dem Granitwürfel, worauf er steht, blofsgelegt, ist das Denkmal von Frick und Dethier genau untersucht und durch die darauf entdeckte Inschrift in seiner ursprünglichen Bedeutung wiedererkannt worden. Danach besteht das Denkmal nicht, wie H. und die meisten Beschauer bis in die neueste Zeit durch den Schein getäuscht angeben, aus einem sondern aus drei ineinander geringelten Schlangenleibern, die in ihrem jetzigen Zustande unten stumpf ansetzen und sich in je zehnmaliger spiralförmiger Windung bis zu einer Höhe von 5,55 Meter erheben, derart dafs sich die verschlungenen Leiber, ihrer natürlichen Gestalt gemäfs allmälig anschwellend und wieder abnehmend, in 29 Ringen, von denen 15 unter dem Niveau des Platzes liegen, übereinander emporranken, worauf sich die jetzt verschwundenen Hälse nach drei Seiten hoch und weit auseinander bogen. 'Das ganze aus Erz gegossene Gewinde ist hohl. Die Dicke des Gusses beträgt am Kopfe 0,013 Met. Die Aufsenseite der Leiber ist aber so plastisch heraustretend und körperlich ausgearbeitet, dafs sie nicht den Eindruck reliefartiger Erhöhung, sondern durchaus den einer vollen Ausbildung machen. Dafs die dargestellte in archaistischem Stile gehaltene Gestalt nur zufälliges Ornament sei ohne weitere Bedeutung, ist an sich nicht wahrscheinlich. Offenbar lag der Idee des Künstlers die Beziehung auf den Python zu Grunde, jenes schlangenartig gebildete Ungeheuer, welches in der delphischen Ortssage und dem apollinischen Cultus eine so wichtige Rolle spielt'. — Die in dorischem Alphabete geschriebene Inschrift enthielt die Widmung und die 31 Namen der betheiligten Staaten in 33 untereinander stehenden kurzen Zeilen, die sich auf elf Windungen (3—13 nach oben) vertheilen. Sie lautet: *Απολονι Θ(ε)ο ‖ (α)ν(αθε)μα τον . . . ‖ (Λ)ακε(δ)αιμον(ιοι) | Αθαν(α)ι(ο)ι | Κορινθιοι ‖ Τεγεατ(αι) | Σεκυονιοι | Αιγιναται ‖ Μεγαρες | Επιδαυριοι | Ερχομενιοι ‖ Φλειασιοι | Τροζανιοι | Ερμιονες ‖ Τιρυνθιοι | Πλαταιες | Θεσπιες ‖ Μυκανες | Κειοι | Μαλιοι | Τενιοι ‖ Ναξιοι | Ερετροες | Χαλκιδες ‖ Στυρες | Φαλειοι | Ποτειδαιαται ‖ Λευκαδιοι | Φαναχτοριες | Κυθνιοι | Σιφνιοι ‖ Αμπρακιοται | Λεπρεατ.* (S. Frick in Fleckeis. Jahrb. Suppl. III 487 ff. Die Figur ist, bis auf den unteren Ring und die Sockelleiste, aus den dort gegebe-

στα τοῦ βωμοῦ, καὶ τῷ ἐν Ὀλυμπίῃ θεῷ ἐξελόντες, ἀπ᾽ ἧς δεκάπηχυν χάλκεον Δία ἀνέθηκαν, καὶ τῷ ἐν Ἰσθμῷ θεῷ, ἀπ᾽ ἧς ἑπτάπηχυς χάλκεος Ποσειδέων ἐξεγένετο, ταῦτα ἐξελόντες τὰ λοιπὰ διαιρέοντο καὶ ἔλαβον ἕκαστοι τῶν ἄξιοι ἦσαν, καὶ τὰς παλλακὰς τῶν Περσέων καὶ τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ τὰ ἄλλα χρήματα τε καὶ ὑποζύγια. ὅσα μέν νυν ἐξαίρετα τοῖσι

nen älteren und neueren Abbild ungen kombinirt).

5. τοῦ βωμοῦ, des Hauptaltars, vor dem Tempel; ὁ βωμὸς ὁ μέγας (Paus. X 14 7). Es gab deren mehrere im περίβολος (II 135 18).

6. Paus. V 23 καὶ αὗτις ὡς πρὸς ἄρκτον ἐπιστρέψαντι . ἄγαλμά ἐστι Διός. τοῦτο τέτραπται μὲν πρὸς ἀνίσχοντα ἥλιον, ἀνέθεσαν δὲ Ἑλλήνων ὅσοι Πλαταιᾶσιν ἐμαχέσαντο ἐναντία Μαρδονίου τε καὶ Μήδων. εἰσὶ δὲ καὶ ἐγγεγραμμέναι κατὰ τοῦ βάθρου τὰ δεξιὰ αἱ μετασχοῦσαι πόλεις τοῦ ἔργου, Λακεδαιμόνιοι μὲν πρῶτοι, μετὰ δὲ αὐτοὺς Ἀθηναῖοι, τρίτοι δὲ γεγραμμένοι καὶ τέταρτοι Κορίνθιοί τε καὶ Σικυώνιοι, πέμπτοι δὲ Αἰγινῆται, μετὰ δὲ Αἰγινήτας Μεγαρεῖς καὶ Ἐπιδαύριοι, Ἀρκάδων δὲ Τεγεᾶταί τε καὶ Ὀρχομένιοι, ἐπὶ δὲ αὐτοῖς ὅσοι Φλιοῦντα καὶ Τροιζῆνα καὶ Ἑρμιόνα οἰκοῦσιν, ἐκ δὲ χώρας τῆς Ἀργείας Τιρύνθιοι, Πλαταιεῖς δὲ μόνοι Βοιωτῶν καὶ Ἀργείων οἱ Μυκήνας ἔχοντες, νησιῶται δὲ Κεῖοι καὶ Μήλιοι, Ἀμβρακιῶται δὲ ἐξ ἠπείρου τῆς Θεσπρωτίδος, Τήνιοί τε καὶ Λεπρεᾶται, Λεπρεᾶται μὲν τῶν ἐκ τῆς Τριφυλίας μόνοι, ἐκ δὲ Αἰγαίου καὶ τῶν Κυκλάδων οὐ Τήνιοι μόνοι ἀλλὰ καὶ Νάξιοι καὶ Κύθνιοι, ἀπὸ δὲ Εὐβοίας Στυρεῖς, μετὰ δὲ τούτους Ἠλεῖοι καὶ Ποτιδαιᾶται καὶ Ἀνακτόριοι, τελευταῖοι δὲ Χαλκιδεῖς οἱ ἐπὶ τῷ Εὐρίπῳ . . τὸ δὲ ἄγαλμα ἐν Ὀλυμπίᾳ ἀνατεθὲν ὑπὸ τῶν Ἑλλήνων ἐποίησεν Ἀναξαγόρας Αἰγινήτης.

7. Auch auf diesem Weihgeschenke waren ohne Zweifel die Namen verzeichnet.

9. τῶν ἄξιοι ἦσαν: Diod. XI 33

ἀριστεύσασι αὐτῶν ἐν Πλαταιῇσι ἐδόθη, οὐ λέγεται πρὸς οὐδαμῶν, δοκέω δ' ἔγωγε καὶ τούτοισι δοθῆναι· Παυσανίῃ δὲ πάντα δέκα ἐξαιρέθη τε καὶ ἐδόθη, γυναῖκες ἵπποι τάλαντα κάμηλοι, ὡς δὲ αὕτως καὶ τἆλλα χρήματα.

82 Λέγεται δὲ καὶ τάδε γενέσθαι, ὡς Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος Μαρδονίῳ τὴν κατασκευὴν καταλίποι τὴν ἑωυτοῦ· Παυσανίην ὦν ὁρέοντα τὴν Μαρδονίου κατασκευὴν χρυσῷ τε καὶ ἀργύρῳ καὶ παραπετάσμασι ποικίλοισι κατεσκευασμένην, κελεῦσαι τούς τε ἀρτοκόπους καὶ τοὺς ὀψοποιοὺς κατὰ ταὐτὰ καθὼς Μαρδονίῳ δεῖπνον παρασκευάζειν. ὡς δὲ κελευόμενοι οὗτοι ἐποίευν ταῦτα, ἐνθαῦτα τὸν Παυσανίην ἰδόντα κλίνας τε χρυσέας καὶ ἀργυρέας εὖ ἐστρωμένας καὶ τραπέζας χρυσέας καὶ ἀργυρέας καὶ παρασκευὴν μεγαλοπρεπέα τοῦ δείπνου, ἐκπλαγέντα τὰ προκείμενα ἀγαθὰ κελεῦσαι ἐπὶ γέλωτι τοὺς ἑωυτοῦ διηκόνους παρασκευάσαι Λακωνικὸν δεῖπνον. ὡς δὲ τῆς θοίνης ποιηθείσης ἦν πολλὸν τὸ μέσον, τὸν Παυσανίην γελάσαντα μεταπέμψασθαι τῶν Ἑλλήνων τοὺς στρατηγούς, συνελθόντων δὲ τούτων εἶπαι τὸν Παυσανίην, δεικνύντα ἐς ἑκατέρην τοῦ δείπνου τὴν παρασκευήν, „ἄνδρες Ἕλληνες, τῶνδε

διελόμενοι τὰ λάφυρα κατὰ τὸν τῶν στρατιωτῶν ἀριθμόν.

13. καὶ τούτοισι, wie dem Pausanias. Die gefallenen ἀριστεύσαντες (c. 71) erhielten ihren Antheil in Grabdenkmälern.

14. πάντα δέκα: zu IV 88 3.

15. τάλαντα scheint verdorben. — ὡς δὲ αὕτως, näml. zehnfach (δέκα).

82. 4. κατασκευήν: besser wäre σκηνήν, wie c. 80 4.

6. καθώς, nur bei Späteren gebräuchlich; bei H. schon wegen der Aspirata auffallend. Ich vermuthe ὡς καί. Jenes las hier schon Athen. 138c.

9. χρυσέας καὶ ἀργυρέας: oben c. 5 u. I 50 3 sachgemäfser ἐπιχρύσους καὶ ἐπαργύρους. — εὖ ἐστρωμένας, weich gepolstert und mit kostbaren Decken belegt. Vgl. VI 58 21.

11. προκείμενα ἀγαθά erinnert an den homerischen Tafelvers οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

12. ἐπὶ γέλωτι: zu VI 67 7.

14. τὸ μέσον 'der Abstand'. Vgl. I 126 16. VII 11 18.

16f. Athen. a. O. las ἐπιδείξας ἑκατέρου τῶν δείπνων τὴν παρασκευήν.

18f. τῶνδε εἵνεκεν - βουλόμενος: zu V 16 13.

εἵνεκεν ἐγὼ ὑμέας συνήγαγον, βουλόμενος ὑμῖν τοῦδε τοῦ Μήδων ἡγεμόνος τὴν ἀφροσύνην δέξαι, ὃς τοιήνδε δίαιταν ἔχων ἦλθε ἐς ἡμέας οὕτω ὀιζυρὴν ἔχοντας ἀπαιρησόμενος.“ ταῦτα μὲν Παυσανίην λέγεται εἰπαι πρὸς τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ὑστέρῳ μέντοι χρόνῳ μετὰ ταῦτα καὶ τῶν Πλαταιέων εὗρον συχνοὶ θήκας χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων χρημάτων. ἐφάνη δὲ καὶ τόδε ὕστερον ἐπὶ τούτων τῶν νεκρῶν περιψιλωθέντων τὰς σάρκας· συνεφόρεον γὰρ τὰ ὀστέα οἱ Πλαταιέες ἐς ἕνα χῶρον. εὑρέθη κεφαλὴ οὐκ ἔχουσα ῥαφὴν οὐδεμίαν ἀλλ᾽ ἐξ ἑνὸς ἐοῦσα ὀστέου· ἐφάνη δὲ καὶ γνάθος, καὶ τὸ ἄνω τῆς γνάθου, ἔχουσα ὀδόντας μουνοφυέας ἐξ ἑνὸς ὀστέου πάντας, τούς τε ὀδόντας καὶ τοὺς γομφίους. καὶ πενταπήχεος ἀνδρὸς ὀστέα ἐφάνη· ἐπεί γε δὴ Μαρδονίου δευτέρῃ ἡμέρῃ ὁ νεκρὸς ἠφάνιστο,

19 f. Pausanias verrüth hier schon jene Neigung zu barbarischer Pracht, von der Thuk. I 130 *οὐκέτι ἠδύνατο ἐν τῷ καθεστηκότι τρόπῳ βιοτεύειν, ἀλλὰ σκευάς τε Μηδικὰς ἐνδυόμενος ἐκ τοῦ Βυζαντίου ἐξήει καὶ διὰ τῆς Θράϊκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν, τράπεζάν τε Περσικὴν παρετίθετο.*

83. 2 ff. Der in *ὑστέρῳ μέντοι χρόνῳ . .* liegende scheinbar bezuglose Gegensatz läfst erkennen, daſs c. 82 vom Vf. erst später nachgetragen ist; denn jene Worte beziehen sich auf die Vertheilung der sofort nach der Schlacht gefundenen Beute (c. 81) und bringen dazu als Ergänzung die spätere Nachlese der Plataeer. Daher *καὶ τῶν Πλ. συχνοί*, im Ggs. zu den früheren Einsammlern (c. 80) und Theilhabern. Ebenso scheinen die Notizen c. 83 4 *ἐφάνη* — c. 85 2 *ἐτάφη* nicht bei der ersten Verfassung geschrieben. Von ähnlichen Nachträgen zu III 131 12. IV 64 17. 86 15. VI 59 1. VII 20 4. — *θήκας χρυσοῦ*: zu III 130 18.

5. *τόδε*, nämlich *εὑρέθη . .* (7). — *ἐπί* ‘bei, an’. — *τούτων*, der dort, bei Plataeae liegenden. Zur Beobachtung vgl. III 12. Sie bezieht sich nur auf die Barbaren, denen als Feinden kein Begräbnifs zu Theil wurde (vgl. VII 10^{ϑ} 14).

6. *γάρ*: zu III 31 4.

9. *καὶ-γνάθου*: man wird herstellen müssen *ἡ ἄνω* (‘Oberkiefer’, II 68 15), wozu *τὸ ἄνω τῆς γνάθου* eine ungenaue Erklärung war. Vgl. Plut. Pyrrh. 3 *πολλοὺς δὲ ὀδόντας (Πύρρος) οὐκ εἶχεν ἀλλ᾽ ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν, οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένων τῶν ὀδόντων.* Plin. VII 69 *aliqui vice dentium continuo osse gignuntur, sicuti Prusiae regis Bithyniorum filius superna parte oris.*

10. *ὀδόντας*: vielmehr *προσθίους*. Arist. part. an. III 1 *ὁ δ᾽ ἄνθρωπος πρός τε τὴν κοινὴν χρῆσιν καλῶς ἔχει πεφυκότας (ὀδόντας), τοὺς μὲν προσθίους ὀξεῖς ἵνα διαιρῶσι, τοὺς δὲ γομφίους πλατεῖς ἵνα λεαίνωσιν.*

84. Die Worte *ἐπεί γε δὴ-ἠ-*

ὑπ᾽ ὅτευ μὲν ἀνθρώπων, τὸ ἀτρεκὲς οὐκ ἔχω εἰπαι, πολλοὺς δέ τινας ἤδη καὶ παντοδαποὺς ἤκουσα θάψαι Μαρδόνιον, καὶ δῶρα μεγάλα οἶδα λαβόντας πολλοὺς παρ᾽ Ἀρτόντεω τοῦ Μαρδονίου παιδὸς διὰ τοῦτο τὸ ἔργον· ὅστις μέντοι ἦν αὐτῶν ὁ ὑπελόμενός τε καὶ θάψας τὸν νεκρὸν τὸν Μαρδονίου, οὐ δύναμαι ἀτρεκέως πυθέσθαι, ἔχει δέ τινα φάτιν καὶ Διονυσοφάνης ἀνὴρ Ἐφέσιος θάψαι Μαρδόνιον. ἀλλ᾽ ὁ μὲν τρόπῳ 85 τοιούτῳ ἐτάφη· οἱ δὲ Ἕλληνες ὡς ἐν Πλαταιῇσι τὴν λήϊην διείλοντο, ἔθαπτον τοὺς ἑωυτῶν χωρὶς ἕκαστοι. Λακεδαιμόνιοι μὲν τριξὰς ἐποιήσαντο θήκας· ἔνθα μὲν τοὺς ἱρένας ἔθαψαν, τῶν καὶ Ποσειδώνιος καὶ Ἀμομφά-

φάνιστο stehen in engem Bezoge zu den vorhergehenden *καὶ-ἐφάνη*. Bei den Vorstellungen, die man sich von der ungewöhnlichen Körpergröfse und Stärke der Perser und zumal der Führer machte (s. VII 103 29. 117 5. 187 15. VIII 113 18. IX 25 5. 96 13), scheint sich das Gerücht erzeugt zu haben jener riesige Leichnam sei kein anderer als der des Mardonios gewesen. H. glaubt aber nicht daran, sondern sagt allgemein *ἀνδρός* und begründet dies mit der Thatsache: 'Denn was des M. Leichnam betrifft, so war er schon am folgenden Tage beseitigt'. Die Gebeine waren also später nicht unter der Masse zu finden. Zu *ἐπεί* vgl. VII 96 10. VIII 111 12. — *ἠφάνιστο*, aus der Menge der feindlichen Todten an einen besonderen Ort gebracht (6) und eingescharrt (vgl. III 126 15 u. das häufige *γῇ κρύπτειν*). Einmal mit Erde bedeckt galt er für bestattet (*θαφθείς*) und schützte ihn fromme Scheu vor Nachforschung und Mifshandlung. Wahrscheinlich setzte ihm der unbekannte Wohlthäter auch einen Grabstein; denn noch Pausanias sah rechts an der Strafse von Eleutherae nach Plataeae, in der Nähe des Kampfplatzes sein Denkmal (IX 2 2).

3. *πολλούς τινας*: zu V 33 9. — *ἤδη-ἤκουσα*: zu IV 77 2. Das Gerücht nennt bald diesen bald jenen als Thäter und sucht ihn bald in dieser bald in jener Stadt (*παντοδαπούς*). Paus. a. O. *φαίνεται δὲ Ἀρτόντης ὁ Μαρδονίου πλεῖστα μὲν δοὺς Διονυσοφάνει δῶρα ἀνδρὶ Ἐφεσίῳ, δοὺς μέντοι καὶ ἄλλοις Ἰώνων ὡς οὐδὲ ἐκείνοις ἀμελὲς γενόμενον ταφῆναι Μαρδόνιον.*

4. *οἶδα*: zu I 20 2. Es hatten sich ehen Viele beim Artontes gemeldet als die seinen Vater bestattet hätten und sich dafür (*διὰ τοῦτο τὸ ἔργον*) belohnen lassen. Der Zeit nach kann dies erst etwa um oder nach 460 geschehen sein (vgl. VI 43 5), da Artontes in Vorderasien einen Posten bekleidete.

8. *ἔχει-καὶ Δ.*, 'es wird auch mit einiger Bestimmtheit von D. behauptet'. Zu V 66 2.

85. 3. Paus. IX 2 5 *κατὰ δὲ τὴν ἔσοδον μάλιστα τὴν ἐς Πλάταιαν τάφοι τῶν πρὸς Μήδους μαχεσαμένων εἰσί.*

5 ff. *ἰρήν* (auch *ἴρην εἰρην ἴραν*) hiefs der junge Spartiate vom 20. bis 29. Jahre, und zwar gehörte er im ersten Jahre zu den *πρωτίρανες*, im letzten zu den *σφαιρεῖς*, worauf

ρετος ἦσαν καὶ Φιλοκύων τε καὶ Καλλικράτης. ἐν μὲν δὴ ἑνὶ τῶν τάφων ἦσαν οἱ ἱρένες, ἐν δὲ τῷ ἑτέρῳ οἱ ἄλλοι Σπαρτιῆται, ἐν δὲ τῷ τρίτῳ οἱ εἵλωτες. οὗτοι μὲν οὕτω ἔθαπτον, Τεγεῆται δὲ χωρὶς πάντας ἔθαψαν ἁλέας, καὶ Ἀθηναῖοι τοὺς ἑωυτῶν ὁμοῦ, καὶ Μεγαρέες τε καὶ Φλιάσιοι τοὺς ὑπὸ τῆς ἵππου διαφθαρέντας. τούτων μὲν δὴ πάντων πλήρεες ἐγένοντο οἱ τάφοι· τῶν δὲ ἄλλων ὅσοι καὶ φαίνονται ἐν Πλαταιῇσι ἐόντες τάφοι, τούτους δέ, ὡς ἐγὼ πυνθάνομαι, ἐπαισχυνομένους τῇ ἀπεστοῖ τῆς μάχης ἕκάστους χώματα χῶσαι κεινὰ τῶν ἐπιγινομένων εἵνεκεν ἀνθρώπων, ἐπεὶ καὶ Αἰγινητέων ἔστι αὐτόθι καλεόμενος τάφος, τὸν ἐγὼ ἀκούω καὶ δέκα ἔτεσι ὕστερον μετὰ ταῦτα δεηθέντων Αἰγινητέων χῶσαι Κλεάδεα τὸν Αὐτοδίκου ἄνδρα Πλαταιέα, πρόξεινον ἐόντα αὐτῶν.

86 Ὡς δ' ἄρα ἔθαψαν τοὺς νεκροὺς ἐν Πλαταιῇσι οἱ Ἕλληνες, αὐτίκα βουλευομένοισί σφι ἐδόκεε στρατεύε-

er mit dem 30. unter die *ἄνδρες* trat. Die jungen Bürger dieser Ordnung waren zwar noch nicht berechtigt einen eigenen Hausstand zu gründen und an den Gemeindeberathungen theilzunehmen, aber von der strengen Zucht der Jüngeren befreit und selbst zu ihrer Leitung befugt, und vor allen späteren Altersklassen zum Kriegsdienst berufen. Daher bei den Heereszügen gerade dieser Theil der Bürgerschaft am stärksten und oft nur allein vertreten war (Plut. Lyk. 17. 25. Paus. III 14 6. Gloss. Herod. u. die Lexikographen). Da es nun aber nicht glaublich ist dafs auch Amompharetos als stimmberechtigter Lochage (c. 53. 55 20) noch zu dieser Klasse gehört habe, anderseits das Grab der gefallenen Perioeken oder Lakedaemonier (c. 11 19) vermifst wird, so mufs man annehmen, dafs das erste alle Spartiaten, das zweite die Lakedaemonier enthalten, der Vf. aber durch den Ausdruck *ἱρένες*, der auch diesmal für die Mehrzahl der Spartiaten zutraf (vgl. c. 12 8) und den er darum schlechthin von den spart. Todten gebrauchen hörte, sich habe beirren lassen die Inhaber des ersten Grabes auf jene besondere Klasse zu beschränken, den übrigen Spartiaten aber das zweite zuzuweisen, wobei denn die Lakedaemonier ausfielen.

9. *πάντας*, ohne Unterschied des Standes und Ranges.

13. *ἄλλων*, sc. *Ἑλλήνων*. Eig. *ὅσοι δὲ (τάφοι) τῶν ἄλλων-τούτους δέ*. S. zu V 87 16.

15. *ἀπεστώ* 'Absein' (Lessing Nathan). Vgl. *εὐεστώ* (I 85 3). — *τῆς μάχης*, der letzten und entscheidenden. Sie hatten allerdings in den vorhergegangenen Kämpfen sehr gelitten, aber nur in der Defensive gegen die feindliche Reiterei.

17. *καὶ δέκα*: zu II 44 17.

19. *πρόξεινος*: zu VIII 136 9.

σθαι ἐπὶ τὰς Θήβας καὶ ἐξαιτέειν αὐτῶν τοὺς μηδίσαντας, ἐν πρώτοισι δὲ αὐτῶν Τιμηγενίδεα καὶ Ἀττα-
γῖνον, οἳ ἀρχηγέται ἀνὰ πρώτους ἦσαν· ἢν δὲ μὴ ἐκδι- 5
δῶσι, μὴ ἀπανίστασθαι ἀπὸ τῆς πόλιος πρότερον ἢ ἐξέλωσι. ὡς δέ σφι ταῦτα ἔδοξε, οὕτω δὴ ἐνδεκάτῃ ἡμέρῃ ἀπὸ τῆς συμβολῆς ἀπικόμενοι ἐπολιόρκεον Θηβαίους, κελεύοντες ἐκδιδόναι τοὺς ἄνδρας· οὐ βουλομένων δὲ τῶν Θηβαίων ἐκδιδόναι, τήν τε γῆν αὐτῶν ἔταμνον 10
καὶ προσέβαλλον πρὸς τὸ τεῖχος. καὶ οὐ γὰρ ἐπαύοντο 87
σινόμενοι, εἰκοστῇ ἡμέρῃ ἔλεξε τοῖσι Θηβαίοισι Τιμηγενίδης τάδε. „ἄνδρες Θηβαῖοι, ἐπειδὴ οὕτω δέδοκται τοῖσι Ἕλλησι, μὴ πρότερον ἀπαναστῆναι πολιορκέοντας ἢ ἐξέλωσι Θήβας ἢ ἡμέας αὐτοῖσι παραδῶτε, νῦν ὦν 5
ἡμέων εἵνεκεν γῆ ἡ Βοιωτίη πλέω μὴ ἀναπλήσῃ, ἀλλ' εἰ μὲν χρημάτων χρηίζοντες πρόσχημα ἡμέας ἐξαιτέονται, χρήματά σφι δῶμεν ἐκ τοῦ κοινοῦ (σὺν γὰρ τῷ κοινῷ καὶ ἐμηδίσαμεν, οὐδὲ μοῦνοι ἡμεῖς), εἰ δὲ ἡμέων ἀληθέως δεόμενοι πολιορκέουσι, ἡμεῖς δὲ ἡμέας αὐτοὺς ἐς 10
ἀντιλογίην παρέξομεν." κάρτα τε ἔδοξε εὖ λέγειν καὶ

Belagerung Thebens; Züchtigung der Anführer. Rückzug und List des Artabazos (c. 86—89).

86. 4. *αὐτῶν* stände besser hinter *ἀνὰ πρώτους*. Von der damaligen Verfassung Thebens heifst es Thuk. III 62 *ἡμῖν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα οὔτε κατὰ δημοκρατίαν .. δυναστεία ὀλίγων εἶχε τὰ πράγματα.* Plut. Arist. 18 *προθυμότατα τῶν πρώτων καὶ δυνατωτάτων τότε παρ' αὐτοῖς μηδιζόντων καὶ τὸ πλῆθος οὐ κατὰ γνώμην ἀλλ' ὀλιγαρχούμενον ἀγόντων*, mor. 864 *Λημάρατος ὁ Σπαρτιάτης διὰ ξενίαν εὔνους ὢν Ἀτταγίνῳ τῷ προεστῶτι τῆς ὀλιγαρχίας διεπράξατο φίλον βασιλέως γενέσθαι καὶ ξένον.*

6. *πρότερον ἢ ἐξέλωσι*: zu VII 54 8.

87. 5. *νῦν ὦν*: zu V 49 11. Sonst nicht in der Apodosis; vgl. jedoch VII 129 12. VIII 101 19.

6. *πλέω μὴ ἀναπλήσῃ*, 'das boeotische Land soll unseretwegen nicht noch mehr erleiden'. Zum dehortativen Konjunktiv in der dritten Person vgl. VII 10η *μή νυν οὕτω γένηται*, zum Ausdrucke V 4 7.

8f. *ἐκ τοῦ κοινοῦ*: vgl. VII 144 3. Aber *σὺν τῷ κοινῷ* wie VIII 135 9. Jenes ist ein Theil des Gemeinwesens, dies das ganze. — *καί*: war unser *μηδισμός* ein gemeinsamer, so mufs es auch die Strafzahlung sein.

10. *δεόμενοι, exposcentes.* — *ἡμεῖς δέ*: zu II 39 8.

11. *ἀντιλογίη, causae dictio.* — *τε*: zu VI 41 7.

ἐς καιρόν, αὐτίκα τε ἐπεκηρυκεύοντο πρὸς Παυσανίην
88 οἱ Θηβαῖοι ἐθέλοντες ἐκδιδόναι τοὺς ἄνδρας. ὡς δὲ ὡμολόγησαν ἐπὶ τούτοισι, Ἀτταγῖνος μὲν ἐκδιδρήσκει ἐκ τοῦ ἄστεος, παῖδας δὲ αὐτοῦ ἀπαχθέντας Παυσανίης ἀπέλυσε τῆς αἰτίης, φὰς τοῦ μηδισμοῦ παῖδας οὐδὲν εἶναι μεταιτίους. τοὺς δὲ ἄλλους ἄνδρας τοὺς ἐξέδοσαν οἱ Θηβαῖοι, οἱ μὲν ἐδόκεον ἀντιλογίης τε κυρήσειν καὶ δὴ χρήμασι ἐπεποίθεσαν διωθέεσθαι· ὁ δὲ ὡς παρέλαβε, αὐτὰ ταῦτα ὑπονοέων τὴν στρατιὴν τὴν τῶν συμμάχων ἅπασαν ἀπῆκε καὶ ἐκείνους ἀγαγὼν ἐς Κόρινθον διέφθειρε. ταῦτα μὲν τὰ ἐν Πλαταιῇσι καὶ Θήβῃσι γενόμενα.

89 Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος φεύγων ἐκ Πλαταιέων καὶ δὴ πρόσω ἐγίνετο. ἀπικόμενον δέ μιν οἱ Θεσσαλοὶ παρὰ σφέας ἐπί τε ξείνια ἐκάλεον καὶ ἀνειρώτευν περὶ τῆς στρατιῆς τῆς ἄλλης, οὐδὲν ἐπισταμένοι τῶν ἐν Πλαταιῇσι γενομένων. ὁ δὲ Ἀρτάβαζος γνοὺς ὅτι εἰ ἐθέλοι σφι πᾶσαν τὴν ἀληθείην τῶν ἀγώνων εἰπαι, αὐτός τε κινδυνεύσει ἀπολέσθαι καὶ ὁ μετ' αὐτοῦ στρατός (ἐπιθήσεσθαι γάρ οἱ πάντα τινὰ οἴετο πυνθανόμενον τὰ γεγονότα), ταῦτα ἐκλογιζόμενος οὔτε πρὸς τοὺς Φωκέας ἐξηγόρευε οὐδέν, πρός τε τοὺς Θεσσαλοὺς ἔλεγε τάδε. „ἐγὼ μὲν, ὦ ἄνδρες Θεσσαλοί, ὡς ὁρᾶτε, ἐπεί-

88. 3. ἀπαχθέντες 'herbeigebracht' (VI 119 6).

5f. τοὺς δὲ ἄλλους - οἱ μέν: eig. οἱ δὲ ἄλλοι - ἐδόκεον μέν. Ganz ähnlich II 106 1. — τε stünde richtiger vor ἀντιλογίης. Es war zunächst auf den Parallelismus von ἀντιλογίης κυρήσειν und χρήμασι διωθέεσθαι abgesehen; aber das zugekommene ἐπεποίθεσαν verlangt ihn auch für die Verba, wie VII 38 7.

7. διωθέεσθαι, die Anklage. Die ἀντιλογίη umfafst Beides, die Anklage und Vertheidigung. — Thuk. I 132 von Pausanias selber πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην.

8. αὐτὰ ταῦτα, die Absicht und wohl auch die Möglichkeit der Bestechung.

9. ἐς Κόρινθον, oder vielmehr ἐς τὸν Κορινθίων Ἰσθμόν (VII 195 8), wo die πρόβουλοι τῆς Ἑλλάδος tagten. S. zu VII 145 3.

89. 2. καὶ δή: zu IV 102 3.

6. τὴν ἀληθείην τῶν ἀγώνων: zu V 9 1.

9f. Die Worte οὔτε - οὐδέν sagen nachträglich noch wie er sich zu den Phokern benommen, deren Land er ebenfalls hatte durchziehen müssen.

γομαί τε [κατὰ] τὴν ταχίστην ἐλῶν ἐς Θρηίκην καὶ σπουδὴν ἔχω, πεμφθεὶς κατά τι πρῆγμα ἐκ τοῦ στρατοπέδου μετὰ τῶνδε· αὐτὸς δὲ ὑμῖν Μαρδόνιος καὶ ὁ στρατὸς αὐτοῦ οὗτος κατὰ πόδας ἐμεῦ ἐλαύνων προσδόκιμός ἐστι. τοῦτον καὶ ξεινίζετε καὶ εὖ ποιεῦντες φαίνεσθε· οὐ γὰρ ὑμῖν ἐς χρόνον ταῦτα ποιεῦσι μεταμελήσει." ταῦτα δὲ εἶπας ἀπήλαυνε σπουδῇ τὴν στρατιὴν διὰ Θεσσαλίης τε καὶ Μακεδονίης ἰθὺ τῆς Θρηίκης, ὡς ἀληθέως ἐπειγόμενος καὶ τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ. καὶ ἀπικνέεται ἐς Βυζάντιον, καταλιπὼν τοῦ στρατοῦ τοῦ ἑωυτοῦ συχνοὺς ὑπὸ Θρηίκων τε κατακοπέντας κατ' ὁδὸν καὶ λιμῷ συστάντας καὶ καμάτῳ· ἐκ Βυζαντίου δὲ διέβη πλοίοισι. οὗτος μὲν οὕτω ἀπενόστησε ἐς τὴν Ἀσίην.

90 Τῆς δὲ αὐτῆς ἡμέρης τῆς περ ἐν Πλαταιῇσι τὸ τρῶμα ἐγένετο, συνεκύρησε γενέσθαι καὶ ἐν Μυκάλῃ τῆς Ἰωνίης. ἐπειδὴ γὰρ ἐν τῇ Δήλῳ κατέατο οἱ Ἕλληνες οἱ ἐν τῇσι νησὶ ἅμα Λευτυχίδῃ τῷ Λακεδαιμονίῳ ἀπικόμενοι, ἦλθόν σφι ἄγγελοι ἀπὸ Σάμου Λάμπων τε Θρασυκλέος καὶ Ἀθηναγόρης Ἀρχεστρατίδεω καὶ Ἡγησίστρατος Ἀριστα γόρεω, πεμφθέντες ὑπὸ Σαμίων λάθρῃ τῶν τε Περσέων καὶ τοῦ τυράννου Θεομήστορος τοῦ Ἀνδροδάμαντος, τὸν κατέστησαν Σάμου

14. Oben 7 und sonst regelmäfsig *αὐτός τε καὶ ὁ στρατός*. Hier fehlt *τε* wegen *δέ*; zu VII 83 9.

15. Mit *οὗτος* weist der Redner rückwärts nach Süden.

17. *ἐς χρόνον*: zu III 72 26.

20. *τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ* ist zu VII 124 4 erklärt.

23. *συστάντας*: zu VII 170 8.

Samische Gesandte bei der hellenischen Flotte. Wundergeschichte des Sehers Euenios (c. 90—95).

90. 2. *τὸ τρῶμα*, ohne nähere Bestimmung wie VI 132 1. Dasselbe Subjekt gilt auch für den Hauptsatz: 'selbigen Tages, da bei Plataeae die Niederlage geschah, traf es sich dafs sie auch bei Mykale geschah', die doppelte Niederlage als eine angesehen und zugleich die bei Mykale als dem Leser schon bekannt vorausgesetzt. Näher lag allerdings zu schreiben *τῆς περ τὸ ἐν Π. τρῶμα-καὶ τὸ ἐν Μ.*

3. *κατέατο*, in den Winterquartieren (vgl. VIII 130 12). Zur Sache VIII 132.

5. *ἦλθόν σφι ἄγγελοι*, wie schon im Herbst des vorigen Jahres (a. O.).

8. *τῶν τε Περσέων*, deren Flotte dort lag (VIII 130). — *Θεομήστορος*: s. VIII 85.

τύραννον οἱ Πέρσαι. ἐπελθόντων δέ σφεων ἐπὶ τοὺς στρατηγοὺς ἔλεγε Ἡγησίστρατος πολλὰ καὶ παντοῖα, ὡς ἢν μοῦνον ἴδωνται αὐτοὺς οἱ Ἴωνες ἀποστήσονται ἀπὸ Περσέων, καὶ ὡς οἱ βάρβαροι οὐκ ὑπομενέουσι· ἢν δὲ καὶ ἄρα ὑπομείνωσι, οὐκ ἑτέρην ἄγρην τοιαύτην εὑρεῖν ἂν αὐτούς. θεούς τε κοινοὺς ἀνακαλέων προέτραπε αὐτοὺς ῥύσασθαι ἄνδρας Ἕλληνας ἐκ δουλοσύνης καὶ ἀπαμῦναι τὸν βάρβαρον. εὐπετές τε αὐτοῖσι ἔφη ταῦτα γίνεσθαι· τάς τε γὰρ νέας αὐτῶν κακῶς πλέειν καὶ οὐκ ἀξιομάχους ἐκείνοισι εἶναι. αὐτοί τε, εἴ τι ὑποπτεύουσι μὴ δόλῳ αὐτοὺς προάγοιεν, ἑτοῖμοι εἶναι ἐν τῇσι **91** νησὶ τῇσι ἐκείνων ἀγόμενοι ὅμηροι εἶναι. ὡς δὲ πολλὸς ἦν λισσόμενος ὁ ξεῖνος ὁ Σάμιος, εἴρετο Λευτυχίδης, εἴτε κληδόνος εἵνεκεν ἐθέλων πυθέσθαι εἴτε καὶ κατὰ συντυχίην θεοῦ ποιεῦντος, „ὦ ξεῖνε Σάμιε, τί τοι τὸ οὔνομα;“ ὁ δὲ εἶπε „Ἡγησίστρατος“. ὁ δὲ ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον, εἴ τινα ὥρμηιο λέγειν ὁ Ἡγησίστρατος, εἶπε „δέκομαι τὸν οἰωνὸν τὸν ἡγησίστρατον, ὦ ξεῖνε Σάμιε. σὺ δὲ ἡμῖν ποίεε ὅκως αὐτός τε δοὺς πίστιν ἀποπλεύσεαι καὶ οἱ σὺν σοὶ ἐόντες οἵδε, ἢ μὲν **92** Σαμίους ἡμῖν προθύμους ἔσεσθαι συμμάχους.“ ταῦτά τε ἅμα ἠγόρευε καὶ τὸ ἔργον προσῆγε· αὐτίκα γὰρ οἱ Σάμιοι πίστιν τε καὶ ὅρκια ἐποιεῦντο συμμαχίης πέρι πρὸς τοὺς Ἕλληνας. ταῦτα δὲ ποιήσαντες οἱ μὲν ἀπέπλεον· [μετὰ σφέων γὰρ ἐκέλευε πλέειν τὸν Ἡγησίστρατον, οἰωνὸν τὸ οὔνομα ποιεύμενος·] οἱ δὲ Ἕλληνες

10. ἐπελθόντων-ἐπί: zu V 97 5.

14. ‘so würden sie einen Fang machen der seines Gleichen suche’. Es war auf einen Ueberfall im Hafen abgesehen, der vom Lande aus unterstützt werden sollte; die ganze Flotte gedachte mnn so mit einem Schlage zu vernichten.

15. ἀναχαλέων, *obtestans*, wofür sonst ἐπικαλέειν od. -εεσθαι (I 199 16. III 65 31. V 92η 31).

18. κακῶς πλέειν: zu VIII 42 9.

91. πολλός: zu I 91 3.

4. κατὰ-ποιεῦντος, an Sinn = θείῃ τύχῃ (III 139 14).

5. ὑπαρπάσας, wie V 50 10.

7. δέκομαι: zu I 48 7. — ἡγησίστρατον, von dem Redenden als Appellativ genommen.

92. 2. προσῆγε, *addidit* (τῷ λόγῳ). Vgl. III 135 2.

5f. μετὰ-ποιεύμενος sind eine alte Randerklärnng zu e. 91 7, die aber wegen ἀποπλεύσεαι (9) als irrig anzusehen ist.

ἐπισχόντες ταύτην τὴν ἡμέρην τῇ ὑστεραίῃ ἐκαλλιρέοντο, μαντευομένου σφι Δηιφόνου τοῦ Εὐηνίου ἀνδρὸς Ἀπολλωνιήτεω, Ἀπολλωνίης δὲ τῆς ἐν τῷ Ἰονίῳ κόλπῳ, τοῦ τὸν πατέρα κατέλαβε Εὐήνιον πρῆγμα τοιόνδε. ἔστι 93
ἐν τῇ Ἀπολλωνίῃ ταύτῃ ἱρὰ ἡλίου πρόβατα, τὰ τὰς μὲν ἡμέρας βόσκεται παρὰ Χῶνα ποταμὸν ὃς ἐκ Λάκμονος οὔρεος ῥέει διὰ τῆς Ἀπολλωνιήτιδος χώρης ἐς θάλασσαν παρ' Ὤρικον λιμένα, τὰς δὲ νύκτας ἀραιρημένοι ἄνδρες 5
οἱ πλούτῳ τε καὶ γένεϊ δοκιμώτατοι τῶν ἀστῶν, οὗτοι φυλάσσουσι ἐνιαυτὸν ἕκαστος· περὶ πολλοῦ γὰρ δὴ ποιεῦνται Ἀπολλωνιῆται τὰ πρόβατα ταῦτα ἐκ θεοπροπίου τινός. ἐν δὲ ἄντρῳ αὐλίζονται ἀπὸ τῆς πόλιος ἑκάς. ἔνθα δὴ τότε ὁ Εὐήνιος οὗτος ἀραιρημένος ἐφύ- 10
λασσε. καί κοτε αὐτοῦ κατακοιμίσαντος τὴν φυλακὴν παρελθόντες λύκοι ἐς τὸ ἄντρον διέφθειραν τῶν προβάτων ὡς ἑξήκοντα. ὁ δὲ ὡς ἐπήισε, εἶχε σιγῇ καὶ ἔφραζε οὐδενί, ἐν νόῳ ἔχων ἀντικαταστήσειν ἄλλα πριάμενος. καὶ οὐ γὰρ ἔλαθε τοὺς Ἀπολλωνιήτας ταῦτα 15
γενόμενα, ἀλλά κως ἐπύθοντο, ὑπαγαγόντες μιν ὑπὸ δικαστήριον κατέκριναν, ὡς τὴν φυλακὴν κατακοιμίσαν-

9. *Ἀπολλωνίης δέ*, indem *Ἀπολλωνιήτεω* soviel ist als *ἐὼν ἐξ Ἀπολλωνίης*. Zu c. 73 2.

93. 2. *ἐν τῇ Ἀπολλωνίῃ*, im Gebiete von A. — *ἱρὰ ἡλίου πρόβατα*, wahrscheinlich Schafe und an Zahl, wie auch sonst, 350 od. 360 nach den Jahrestagen, denen sie entsprechen. Od. λ 108 auf der Insel Thrinakia *βόας καὶ ἴφια μῆλα Ἠελίου*, Hymn. Apoll. P. 234 *Ταίναρον, ἔνθα τε μῆλα βαθύτριχα βόσκεται αἰεὶ Ἠελίοιο ἄνακτος*.

3. *Χῶνα* fehlt in den Hss.; ergänzt aus Theognost. Kanon. 794 *Χὼν Χωνὸς ὄνομα ποταμοῦ, ἐξ οὗ καὶ ἡ Ἤπειρος Χωνία, παρὰ Ἡροδότῳ*. — Der bei Orikos mündende kleine Flufs hat seine Quellen nicht so weit ostwärts, dafs sie auf dem Lakmon entspringen könnten. Er ist mit dem Aoos od. Aeas verwechselt, der aber bei Apollonia selber ausströmt (Strab. 271 u. A.).

6. Arist. Pol. IV 4 *ἂν οἱ ἐλεύθεροι ὄντες πλειόνων καὶ μὴ ἐλευθέρων ἄρχωσι - οἷον ἐν Ἀπολλωνίᾳ τῇ ἐν τῷ Ἰονίῳ καὶ ἐν Θήρᾳ. ἐν τούτων γὰρ ἑκατέρᾳ τῶν πόλεων ἐν ταῖς τιμαῖς ἦσαν οἱ διαφέροντες κατ' εὐγένειαν καὶ πρῶτοι κατασχόντες τὰς ἀποικίας ὀλίγοι ὄντες πολλῶν*.

9f. *ἀπὸ - ἑκάς*, wie III 41 9. Il. σ 256 *ἑκὰς δ' ἀπὸ Ἰλίου εἰμέν*. Vgl. V 9 16.

11. *κατακοιμίζειν* 'verschlafen'. Xen. Mem. II 1 30 *τῆς δ' ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα*.

τα, τῆς ὄψιος στερῃθῆναι. ἐπείτε δὲ τὸν Εὐήνιον ἐξετύφλωσαν, αὐτίκα μετὰ ταῦτα οὔτε πρόβατά σφι ἔτικτε οὔτε γῆ ἔφερε ὁμοίως καρπόν. πρόφαντα δέ σφι ἔν τε Δωδώνῃ καὶ ἐν Δελφοῖσι ἐγίνετο, ἐπείτε ἐπειρώτευν [τοὺς προφήτας] τὸ αἴτιον τοῦ παρεόντος κακοῦ, [οἱ δὲ αὐτοῖσι ἔφραζον] ὅτι ἀδίκως τὸν φύλακον τῶν ἱρῶν προβάτων Εὐήνιον τῆς ὄψιος ἐστέρησαν· αὐτοὶ γὰρ ἐπορμῆσαι τοὺς λύκους, οὐ πρότερόν τε παύσεσθαι τιμωρέοντες ἐκείνῳ πρὶν ἢ δίκας δῶσι τῶν ἐποίησαν, ταύτας τὰς ἂν αὐτὸς ἕληται καὶ δικαιοῖ· τούτων δὲ τελεομένων αὐτοὶ δώσειν Εὐηνίῳ δόσιν τοιαύτην τὴν πολλοὺς μιν μακαριεῖν ἀνθρώπων ἔχοντα. τὰ μὲν χρηστήρια ταῦτά σφι ἐχρήσθη, οἱ δὲ Ἀπολλωνιῆται ἀπόρρητα ποιησάμενοι προέθεσαν τῶν ἀστῶν ἀνδράσι διαπρῆξαι. οἱ δέ σφι διέπρηξαν ὧδε. κατημένου Εὐηνίου ἐν θώκῳ ἐλθόντες οἱ παρίζοντο καὶ λόγους ἄλλους ἐποιεῦντο, ἐς ὃ κατέβαινον συλλυπεύμενοι τῷ πάθεϊ. ταύτῃ δὲ ὑπάγοντες εἰρώτεον τίνα δίκην ἂν ἕλοιτο, εἰ ἐθέλοιεν Ἀπολλωνιῆται δίκας ὑποστῆναι δώσειν τῶν ἐποίησαν. ὁ δὲ οὐκ ἀκηκοὼς τὸ θεοπρόπιον εἵλετο εἴπας εἴ τίς οἱ δοίη ἀγρούς, τῶν ἀστῶν οὐνομάσας τοῖσι ἠπίστατο εἶναι καλλίστους δύο κλήρους τῶν ἐν τῇ Ἀπολλωνίῃ, καὶ οἴκησιν πρὸς τούτοισι τὴν ἤδεε καλλίστην ἐοῦσαν τῶν

19f. Vgl. zu III 65 36. — *πρόφαντα*, unten c. 94 1 durch *χρηστήρια*, 17 durch *θεοπρόπια* erklärt. Zu V 63 5.

22. *τοὺς προφήτας*, in doppeltem Widerspruch mit II 55 2 und mit VIII 36 13. Der Glossator hielt sich an *πρόφαντα*.

24. *αὐτοί*, die befragten Götter, Zeus und Apollon, die in den Orakeln selber sprechend eingeführt wurden. Vgl. I 47 13. VII 141 15.

26. *πρὶν ἢ δῶσι*: zu VII 54 8.

28. *τελεομένων*: eig. *τελεσθέντων*. Zu I 9 8.

94. 2f. *ἀπόρρητα π.*: zu c. 45 4. — *προέθεσαν*, wie III 38 4.

5. *ἐν θώκῳ*, auf der Agora, wo die Bürger sich zu öffentlichen Geschäften und persönlichem Verkehr tagtäglich zusammenfanden (*ἀγοράζειν*, III 137 3). Od. o 408 *οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον δήμοιό τε φῆμιν*. Vgl. 63 5. — *λόγους ἄλλους ἐπ.* 'unterhielten sich von anderen Dingen'. Vgl. VIII 74 6.

6. *κατέβαινον συλλυπεύμενοι* 'endlich darauf kamen ihr Beileid auszusprechen'. Zu I 90 15. VI 39 13.

7. *ὑπάγοντες* 'allmälig hinleitend', zu dem eigentlichen Gegenstande.

8. *ὑποστῆναι*: zu c. 34 9.

ἐν τῇ πόλι· τούτων δὲ ἔφη ἐπίβολος γενόμενος τοῦ λοιποῦ ἀμήνιτος εἶναι, καὶ δίκην οἱ ταύτην ἀποχρᾶν γενομένην. καὶ ὁ μὲν ταῦτα ἔλεγε, οἱ δὲ πάρεδροι εἶπαν ὑπολαβόντες „Εὐήνιε, ταύτην δίκην Ἀπολλωνιῆται τῆς ἐκτυφλώσιος ἐκτίνουσί τοι κατὰ θεοπρόπια τὰ γενόμενα.“ ὁ μὲν δὴ πρὸς ταῦτα δεινὰ ἐποιέετο, ἐνθεῦτεν πυθόμενος τὸν πάντα λόγον, ὡς ἐξαπατηθείς· οἱ δὲ πριάμενοι παρὰ τῶν ἐκτημένων διδοῦσί οἱ τὰ εἵλετο. καὶ μετὰ ταῦτα αὐτίκα ἔμφυτον μαντικὴν εἶχε, ὥστε καὶ οὐνομαστὸς γενέσθαι. τούτου δὴ ὁ Ληίφονος ἐὼν παῖς τοῦ Εὐηνίου ἀγόντων Κορινθίων ἐμαντεύετο τῇ στρατιῇ. ἤδη δὲ καὶ τόδε ἤκουσα, ὡς ὁ Ληίφονος ἐπιβατεύων τοῦ Εὐηνίου οὐνόματος ἐξελάμβανε ἐπὶ τὴν Ἑλλάδα ἔργα, οὐκ ἐὼν Εὐηνίου παῖς.

14. εἶναι 'dafs er sein wolle', ἀποχρᾶν 'dafs ihm genügen solle'.

18f. πρὸς ταῦτα: die vorhergehenden Worte allein erklären den Zorn des Euenios noch nicht; darum tritt ergänzend hinzu ἐνθεῦτεν-λόγον, und dann das daraus sich ergebende Motiv ὡς ἐξαπατηθείς. Von τὸν πάντα λόγον zu I 21 6.

21. ἔμφυτος, Ggs. ἔντεχνος. Bei ihm war eine unmittelbare Gottesgabe was Andere als überlieferbares Wissen kunstmäfsig erlernten. Sonst durften sich nur die alten heroischen Seher ihrer rühmen (Il. α 72 von Kalchas ἣν διὰ μαντοσύνην τήν οἱ πόρε Φοῖβος Ἀπόλλων, Pind. Ol. VI 65 von Iamos ἔνθα οἱ ὤπασε (Ἀπόλλων) θησαυρὸν δίδυμον μαντοσύνας), wie der begeisterte Sänger Od. χ 347 sich seiner Sangeskunst (αὐτοδίδακτος δ' εἰμί, θεὸς δ' ἐμοὶ ἐν φρεσὶν οἵμας Παντοίας ἐνέφυσεν). Auch von ihr galt und ihrem Gegensatze zu dem berufsmäfsigen Handwerk Pindars Wort Ol. VI 86 σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ. μαθόντες δὲ λάβροι παγγλωσσίᾳ, κόρακες ὡς, ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖαν.

95. 2. ἀγόντων, wie c. 36 1.— Κορινθίων, die gemeinschaftlich mit Kerkyra seine Vaterstadt kolonisirt hatten (Thuk. I 26. Skymnos 440).

3 ff. ἤδη-ἤκουσα: zu IV 77 2. — ἐπιβατεύων: zu III 63 16. — ἐξελάμβανε-ἔργα 'Arbeiten übernahm, sich zu Leistungen verdung'. Also ein s.g. ἐργολάβος od. ein δημιουργός (Od. ρ 383 εἰ μὴ τῶν οἳ δημιοεργοὶ ἔασιν, Μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων Ἶπ καὶ θέσπιν ἀοιδὸν - Οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν), der im Lande umherzog und seine Kunst jedem, der sie brauchen mochte, um bestimmten Preis feilbot; kurz ein Lohnarbeiter gewöhnlichen Schlages. ἐκλαμβάνειν (conducere, redimere) sagte man von dem welcher eine Arbeit unter festen Bedingungen auszuführen übernimmt, wie ἐκδιδόναι von dem welcher sie zur Ausführung übergibt. Der Ausdruck ist so verächtlich wie II 94 11 von Melampus. Das Treiben solcher Bettelpriester

96 *Τοῖσι δὲ Ἕλλησι ὡς ἐκαλλίρησε, ἀνῆγον τὰς νέας ἐκ τῆς Δήλου πρὸς τὴν Σάμον. ἐπεὶ δὲ ἐγένοντο τῆς Σαμίης πρὸς Καλάμοισι, οἱ μὲν αὐτοῦ ὁρμισάμενοι κατὰ τὸ Ἡραῖον τὸ ταύτῃ παρεσκευάζοντο ἐς ναυμαχίην, οἱ δὲ Πέρσαι πυθόμενοι σφεας προσπλέειν ἀνῆγον καὶ αὐτοὶ πρὸς τὴν ἤπειρον τὰς νέας τὰς ἄλλας, τὰς δὲ Φοινίκων ἀπῆκαν ἀποπλέειν. βουλευομένοισι γάρ σφι ἐδόκεε ναυμαχίην μὴ ποιέεσθαι· οὐ γὰρ ὧν ἐδόκεον ὁμοῖοι εἶναι. ἐς δὲ τὴν ἤπειρον ἀπέπλεον, ὅκως ἕωσι ὑπὸ τὸν πεζὸν στρατὸν τὸν σφέτερον ἐόντα ἐν τῇ Μυκάλῃ, ὃς κελεύσαντος Ξέρξεω καταλελειμμένος τοῦ ἄλλου στρατοῦ Ἰωνίην ἐφύλασσε· τοῦ πλῆθος μὲν ἦν ἓξ μυριάδες, ἐστρατήγεε δὲ αὐτοῦ Τιγράνης κάλλεΐ τε καὶ*

beschreibt, Plat. resp. 364 *ἀγύρται δὲ καὶ μάντεις ἐπὶ πλουσίων θύρας ἰόντες πείθουσιν ὡς ἔστι παρὰ σφίσι δύναμις ἐκ θεῶν πορισθεῖσα θυσίαις τε καὶ ἐπῳδαῖς, εἴτε τι ἀδίκημά του γέγονεν αὐτοῦ ἢ προγόνων, ἀκεῖσθαι κτλ.* — *ἐπὶ τὴν Ἑλλάδα* ‘über Hellas hin, in H. umher’. Nämlich in *ἐξελάμβανε ἔργα* liegt mitbegriffen dafs er ein unstätes Wanderleben führte. Besonders in der epischen Sprache ist *ἐπί* m. Akk. in jener Bedeutung häufig bei Wörtern die weitgedehnte Flächen und Räume bezeichnen (*γῆ θάλασσα ἄστεα*), ohne immer auch einem Verbum der Bewegung sich anzuschliefsen. Od. a. O., *π* 63 *φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα διννηθῆναι, ω* 200 *στυγερὴ δέ τ' ἀοιδὴ Ἔσσετ' ἐπ' ἀνθρώπους*, Hes. *ἔργ.* 527 *ἀλλ' ἐπὶ νεανέων ἀνδρῶν δῆμόν τε πόλιν τε στρωφᾶται*, Eur. Hipp. 1048 *ἀλλ' ἐκ πατρώας φυγὰς ἀλητεύων χθονὸς Ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσεις βίον*. Vgl. *ἐπὶ πολλόν* II 32 9. VIII 107 11.

Schlacht bei Mykale (c. 96—106).

96. *ἐκαλλίρησε*: zu VII 113 10.

3 f. *Καλάμοισι-Ἡραῖον*: zu III 60 15. Athen. 572 *τὴν ἐν Σάμῳ Ἀφροδίτην ἣν οἱ μὲν ἐν καλάμοις καλοῦσιν οἱ δὲ ἐν ἕλει.* Die nördlich davon gelegene Einfahrt in die von Polykrates gehauten Hafenmolen (III 60 12) war wohl noch von dem Machthaber der Insel (c. 90 8) versperrt.

5 f. *ἀνῆγον*, von Samos, wo sie bislang lagen, über den schmalen Sund, der Samos von Mykale trennt (I 148 4). Nur hierauf bezieht sich *ἀνῆγον*, nicht auch auf *πρὸς τὴν ἤπειρον* (‘und zwar zum Festlande hin’).

7. *ἀπῆκαν ἀποπλέειν*: zu V 20 8. Schon im Winter; s. zu VIII 130 13.

10. *ὑπό*: vgl. VIII 92 14. Mit dem Akkusativ wie V 10 6. VII 108 4.

11 f. *καταλελειμμένος* ‘zurückgeblieben’, mit dem Genitiv wie öfter *λείπεσθαι* (zu VII 153 7). Doch läfst sich der Genitiv auch partitiv fassen, wie VII 170 20. — *τοῦ ἄλλου στρατοῦ*, das nach Europa zog.

13. *Τιγράνην*: s. VII 62 4. — *κάλλεϊ-μεγάθεϊ*: zu I 112 2. Man fand ihn unter den Todten (c. 102 24).

μεγάθεϊ ὑπερφέρων Περσέων. ὑπὸ τοῦτον μὲν δὴ τὸν στρατὸν ἐβουλεύσαντο καταφυγόντες οἱ τοῦ ναυτικοῦ στρατηγοὶ ἀνειρύσαι τε τὰς νέας καὶ περιβαλέσθαι ἕρκος ἔρυμα τῶν νεῶν καὶ σφέων αὐτῶν κρησφύγετον. ταῦτα 97 βουλευσάμενοι ἀνήγοντο. ἀπικόμενοι δὲ παρὰ τὸ τῶν Ποτνιέων ἱρὸν τῆς Μυκάλης ἐς Γαίσωνά τε καὶ Σκολοπόεντα, τῇ Δήμητρος Ἐλευσινίης ἐστὶ ἱρόν, τὸ Φίλιστος ὁ Πασικλέος ἱδρύσατο Νείλεῳ τῷ Κόδρου ἐπισπόμενος ἐπὶ Μιλήτου κτιστύν, ἐνθαῦτα τάς τε νέας ἀνείρυσαν καὶ περιεβάλοντο ἕρκος καὶ λίθων καὶ ξύλων, δένδρεα ἐκκόψαντες ἥμερα, καὶ σκόλοπας περὶ τὸ ἕρκος κατέπηξαν. καὶ παρεσκευάδατο ὡς πολιορκησόμενοι καὶ ὡς νικήσοντες· ἐπ' ἀμφότερα ἐπιλεγόμενοι γὰρ παρεσκευάζοντο.

Οἱ δὲ Ἕλληνες ὡς ἐπύθοντο οἰχωκότας τοὺς βαρ- 98 βάρους ἐς τὴν ἤπειρον, ἤχθοντο ὡς ἐκπεφευγότων, ἐν ἀπορίῃ τε εἶχοντο ὅ τι ποιέωσι, εἴτε ἀπαλλάσσωνται ὀπίσω εἴτε καταπλέωσι ἐπ' Ἑλλησπόντου. τέλος δ' ἔδοξε τούτων μὲν μηδέτερα ποιέειν, ἐπιπλέειν δὲ ἐπὶ τὴν ἤπειρον. παρασκευασάμενοι ὦν ἐς ναυμαχίην καὶ ἀποβάθρας καὶ τὰ ἄλλα ὅσων ἔδεε, ἔπλεον ἐπὶ τῆς

17. *ἔρυμα-κρησφύγετον*, wie c. 15 11ff. parallel; daher wohl auch richtiger *τε τῶν νεῶν καί*.

97. 3. *πότνια* als Appellativ kommt allen weiblichen Gottheiten zu, wie *ἄναξ* den männlichen; doch weist der Plural entweder auf einen Kult der Demeter und Kore, der *θεαὶ θεσμοφόροι* (Paus. IX 8 1. Soph. O. K. 1050. Arist. Thesm. 1149), oder der Eumeniden (Aesch. Sept. 862. Eum. 938. Soph. O. K. 84, Eur. Or. 318 *ποτνιάδες θεοί*). Von dem Dienst der Thesmophoren an dieser Küste ein Beleg VI 16 8. — *Γαίσων*, auch *Γαῖσος*, ein Küstenbach an der Südseite von Mykale beim Vgb. Trogilios (Strab. 636. Athen. 311. Hesych. s. v. Plin. V 113. Mela I 17). An seiner Mündung ist der Ort *Σκολοπόεις* zu suchen, der vom Pfahlwerk der Perser (8) benannt zu sein scheint. Vgl. zu V 118 3 (*τε-καί*).

5. S. zu I 147 3.

6. *κτιστύν*: vgl. zu I 16 6.

8. *ἥμερα*, ohne Rücksicht auf den Wohlstand der (milesischen) Besitzer und obgleich ein waldreiches Gebirge in der Nähe war.

10. Die pers. Anführer gedachten zuerst im offenen Felde, vor ihren Schanzen eine Schlacht zu liefern und nur nach unglücklichem Erfolge sich in das Schanzwerk zurückzuziehen; wie es denn auch geschah (c. 101f.). Zu *παρεσκευάζοντο* nach *παρεσκευάδατο* vgl. VII 123 5.

98. 5. *μηδέτερα*: zu V 39 12.

7. *ἀποβάθρας* hier 'Enter-

Μυκάλης. ἐπεὶ δὲ ἀγχοῦ τε ἐγίνοντο τοῦ στρατοπέδου καὶ οὐδεὶς ἐφαίνετό σφι ἐπαναγόμενος, ἀλλ' ὧρεον νέας ἀνειλκυσμένας ἔσω τοῦ τείχεος, πολλὸν δὲ πεζὸν παρακεκριμένον παρὰ τὸν αἰγιαλόν, ἐνθαῦτα πρῶτον μὲν ἐν τῇ νηὶ παραπλέων, ἐγχρίμψας τῷ αἰγιαλῷ τὰ μάλιστα, Λευτυχίδης ὑπὸ κήρυκος προηγόρευε τοῖσι Ἴωσι λέγων „ἄνδρες Ἴωνες, ὅσοι ὑμέων τυγχάνουσι ἐπακούοντες, μάθετε τὰ λέγω· πάντως γὰρ οὐδὲν συνήσουσι Πέρσαι τῶν ἐγὼ ὑμῖν ἐντέλλομαι. ἐπεὰν συμμίσγωμεν, μεμνῆσθαί τινα χρὴ ἐλευθερίης μὲν πάντων πρῶτον, μετὰ δὲ τοῦ συνθήματος Ἥβης. καὶ τάδε ἴστω καὶ ὁ μὴ ἐπακούσας ὑμέων πρὸς τοῦ ἐπακούσαντος.“ οὗτος δὲ οὗτος ἐὼν τυγχάνει νόος τοῦ πρήγματος καὶ ὁ Θεμιστοκλέος ὁ ἐπ' Ἀρτεμισίῳ· ἢ γὰρ δὴ λαθόντα τὰ ῥήματα τοὺς βαρβάρους ἔμελλε τοὺς Ἴωνας πείσειν, ἢ ἔπειτεν ἀνενειχθέντα ἐς τοὺς βαρβάρους ποιήσειν ἀπίστους τοῖσι Ἕλλησι.

99 *Λευτυχίδεω δὲ ταῦτα ὑποθεμένου δεύτερα δὴ τάδε ἐποίευν οἱ Ἕλληνες· προσσχόντες τὰς νέας ἀπέβησαν ἐς τὸν αἰγιαλόν. καὶ οὗτοι μὲν ἐτάσσοντο, οἱ δὲ Πέρσαι ὡς εἶδον τοὺς Ἕλληνας παρασκευαζομένους ἐς μάχην καὶ τοῖσι Ἴωσι παραινέσαντας, τοῦτο μὲν ὑπονοήσαντες τοὺς Σαμίους τὰ Ἑλλήνων φρονέειν ἀπαιρέονται τὰ ὅπλα. οἱ γὰρ ὦν Σάμιοι ἀπικομένων Ἀθηναίων αἰχμαλώτων ἐν τῇσι νησὶ τῶν βαρβάρων, τοὺς ἔλαβον ἀνὰ τὴν Ἀττι-*

brücken'.

10. *παρακεκριμένον*: zu VIII 70 2.

12. *τὰ μάλιστα* hier = *ὅτι μάλιστα*. Anders V 63 9.

13. *ὑπὸ κήρυκος, per praeconem, praeconis voce*, ist stehender Ausdruck von der Verwendung eines begleitenden Ausrufers. Verschieden *κήρυκα πέμπων* (V 70 6 u. s.).

17. *τινα*: zu VI 9 14.

18. *σύνθημα*: 'Feldgeschrei'. VIII 7 11 'verabredetes Zeichen'.

19 f. 'Diese Maßregel hatte denselben Sinn wie die des Themistokles bei Artemision' (näml. VIII 22). *ὁ Θεμιστοκλέος* mit der gewohnten Verkürzung st. *ὁ τοῦ πρήγματος τοῦ Θ.* — *νόος*: zu VII 162 7.

22. *ἔπειτεν*: vielleicht *ἐκεῖθεν* (=*παρὰ* od. *πρὸς ἐκείνων*, wie *ἐνθεῦτεν* IV 155 1).

23. *ἀπίστους* hier aktivisch, wie auch *suspiciosus* doppeldeutig ist. Vgl. zu VIII 124 3.

99. 6. *τὰ Ἑλλήνων φρονέειν*: zu II 162 27.

κὴν λελειμμένους οἱ Ξέρξεω, τούτους λυσάμενοι πάντας ἀποπέμπουσι ἐποδιάσαντες ἐς τὰς Ἀθήνας· τῶν εἵνεκεν οὐκ ἥκιστα ὑποψίην εἶχον, πεντακοσίας κεφαλὰς τῶν Ξέρξεω πολεμίων λυσάμενοι. τοῦτο δὲ τὰς διόδους τὰς ἐς τὰς κορυφὰς τῆς Μυκάλης φερούσας προστάσσουσι τοῖσι Μιλησίοισι φυλάσσειν ὡς ἐπισταμένοισι δῆθεν μάλιστα τὴν χώρην· ἐποίευν δὲ τούτου εἵνεκεν, ἵνα ἐκτὸς τοῦ στρατοπέδου ἔωσι. τούτους μὲν Ἰώνων τοῖσι καὶ κατεδόκεον νεοχμὸν ἄν τι ποιέειν δυνάμιος ἐπιλαβομένοισι, τρόποισι τοιούτοισι προεφυλάσσοντο οἱ Πέρσαι, αὐτοὶ δὲ συνεφόρησαν τὰ γέρρα ἕρκος εἶναι σφίσι.

Ὡς δὲ ἄρα παρεσκευάδατο τοῖσι Ἕλλησι, προσήισαν πρὸς τοὺς βαρβάρους. ἰοῦσι δέ σφι φήμη τε ἐσέπτατο ἐς τὸ στρατόπεδον πᾶν καὶ κηρυκήιον ἐφάνη ἐπὶ τῆς κυματωγῆς κείμενον· ἡ δὲ φήμη διῆλθέ σφι ὧδε, ὡς οἱ Ἕλληνες τὴν Μαρδονίου στρατιὴν νικῷεν ἐν Βοιωτοῖσι μαχόμενοι. δῆλα δὲ πολλοῖσι τεκμηρίοισί ἐστι τὰ θεῖα τῶν πρηγμάτων, εἰ καὶ τότε, τῆς αὐτῆς

11. *ὑποψίην εἶχον*, Paraphrase des Passivs (*ὑπωπτεύοντο*), wie *αἰτίην λόγον τιμὴν ἔχειν* u. dgl.

12. *διόδους* 'Engpässe, Schluchten' (VII 201 2. IX 104 2).

16f. *τοῖσι καὶ κατεδόκεον* 'denen sie nämlich zutrauten'. Der Dativ in Analogie zu dem hier sinnähnlichen *συνειδέναι, ἐνορᾶν τινί τι*. Vgl. auch *καταχρίνειν* ('zuerkennen') *τινί τι* (II 133 15).

19. *συνεφόρησαν τὰ γέρρα*: zu c. 61 13.

100. *παρεσκευάδατο τοῖσι Ἕλλησι*: richtiger entweder *οἱ Ἕλληνες* od. *παρεσκεύαστο*.

5. *ὧδε* ist auf *φήμη διῆλθε* als einen Begriff zu beziehen, gerade wie c. 101 6 *ὀρθῶς* auf *φήμη-ἐλθοῦσα*, und weist auf den Inhalt des Folgenden wie III 4 18. IV 61 2. V 95 10. VIII 144 18.

6ff. Zur ganzen Satzform vgl. V 78. — *τὰ θεῖα τῶν πρηγμάτων* 'die übernatürlichen unter den (menschlichen) Dingen' (vgl. II 66 11. III 42 18. VII 137 14. VIII 65 15. 94 10). 'Obgleich der Tag der plataeischen und derjenige der mykalischen Schlacht auf einen zusammentrafen'. Statt des für diesen Gedanken erwarteten Ausdrucks *τῆς τε τοῦ ἐν Πλαταιῇσι ἡμέρης καὶ τῆς τοῦ ἐν Μυκάλῃ-τρώματος ἐς τώυτὸ συμπιπτουσέων*, ist die Identität in vorgreifender Weise aus dem Prädikatsbegriff gleich in den Subjektsbegriff gelegt, d.h. die beiden Tage, deren Einerleiheit im Prädikate ausgesprochen werden sollte, sind sofort als einer schon im Subjekte bezeichnet. Da aber dennoch im Prädikate die Identität festgehalten wird, so entsteht ein Pleonasmus entweder von *αὐτῆς*, oder von *συμπιπτούσης* statt des generellen

ἡμέρης συμπιπτούσης τοῦ τε ἐν Πλαταιῇσι καὶ τοῦ ἐν Μυκάλῃ μέλλοντος ἔσεσθαι τρώματος, φήμη τοῖσι Ἕλλησι τοῖσι ταύτῃ ἐσαπίκετο, ὥστε θαρσῆσαί τε τὴν στρατιὴν πολλῷ μᾶλλον καὶ ἐθέλειν προθυμότερον κινδυνεύειν. καὶ τόδε ἕτερον συνέπεσε γενόμενον, Δήμητρος τεμένεα Ἐλευσινίης παρ' ἀμφοτέρας τὰς συμβολὰς εἶναι· καὶ γὰρ δὴ ἐν τῇ Πλαταιίδι παρ' αὐτὸ τὸ Δημήτριον ἐγένετο, ὡς καὶ πρότερόν μοι εἴρηται, ἡ μάχη, καὶ ἐν Μυκάλῃ ἔμελλε ὡσαύτως ἔσεσθαι. γεγονέναι δὲ νίκην τῶν μετὰ Παυσανίεω Ἑλλήνων ὀρθῶς σφι ἡ φήμη συνέβαινε ἐλθοῦσα· τὸ μὲν γὰρ ἐν Πλαταιῇσι πρωὶ ἔτι τῆς ἡμέρης ἐγίνετο, τὸ δὲ ἐν Μυκάλῃ περὶ δείλην. ὅτι δὲ τῆς αὐτῆς ἡμέρης συνέβαινε γίνεσθαι μηνός τε τοῦ αὐτοῦ, χρόνῳ οὐ πολλῷ σφι ὕστερον δῆλα ἀναμανθάνουσι ἐγένετο. ἦν δὲ ἀρρωδίη σφι πρὶν ἢ τὴν φήμην ἐσαπικέσθαι, οὔτι περὶ σφέων αὐτῶν οὕτω ὡς τῶν Ἑλλήνων, μὴ περὶ Μαρδονίῳ παίσῃ ἡ Ἑλλάς. ὡς μέντοι ἡ κληδὼν αὕτη σφι ἐσέπτατο, μᾶλλόν τι καὶ ταχύτερον τὴν πρόσοδον ἐποιεῦντο. οἱ μὲν

ἐούσης. (Der Vorschlag *συμπίπτοντος* ist schon sachlich nicht wohl zulässig; denn nur die Tage, nicht auch die Schlachten fielen zusammen, wie denn auch *μέλλοντος* eig. nur für *τοῦ ἐν Μυκάλῃ* gültig ist, s. c. 101 5 ff.)

10. *ὥστε* 'damit'. Vgl. VIII 13 9.

101. *συνέπεσε γενόμενον*: zu V 36 2.

6. *γεγονέναι*: denn oben c. 100 5 ist *νικᾶσι* 'Sieger seien', wie c. 48 26.

10. *μηνός*: die Schlacht bei Salamis fiel auf den 20. Boedromion 480 (zu VIII 65 7); zehn Monate später, d. h. um den 20. Hekatombaeon 479 fiel Mardonios in Attika ein (c. 3 10); darauf verfloss noch ungefähr ein Monat (vgl. c. 8 10. 41 2) bis zur Schlacht, die also in der letzten Hälfte des Metageitnion anzusetzen ist. Plutarch's ungleiche Angaben Arist. 19. Camill. 19. mor. 349 gehen den 3. od. 4. Boedromion, oder den 26. Metageitnion (boeot. Panemos); jenes scheint das Datum der athenischen, dieses der plataeischen Siegesfeier zu sein. Vgl. zu VI 106 13.

12 f. *περὶ σφέων αὐτῶν*: sonst auch bei II. der Dativ; vgl. besonders VIII 74 5. — *τῶν Ἑλλήνων*, des Mutterlandes. Vielleicht ist *ἐκείνῃ* hinter *τῶν* ausgefallen (vgl. c. 100 10). — *περὶ Μαρδονίῳ παίσῃ* 'dass Mardonios die Klippe sei an welcher Hellas Schiffbruch litte', mit einer sehr geläufigen Metapher st. 'dass Hellas im Kampf mit M. unterliege'. Sonst aber *παίειν πρός τινα* (*τινι*) od. *ἔν τινι*. S. zu I 16 8. *περί* stimmt nicht ins Bild.

15. *πρόσοδον*: zu VII 212 2.

δὴ Ἕλληνες καὶ οἱ βάρβαροι ἔσπευδον ἐς τὴν μάχην, ὡς σφι καὶ αἱ νῆσοι καὶ ὁ Ἑλλήσποντος ἄεθλα προεκέετο. τοῖσι μέν νυν Ἀθηναίοισι καὶ τοῖσι προσεχέσι **102** τούτοισι τεταγμένοισι, μέχρι κου τῶν ἡμισέων, ἡ ὁδὸς ἐγίνετο κατ' αἰγιαλόν τε καὶ ἄπεδον χῶρον, τοῖσι δὲ Λακεδαιμονίοισι καὶ τοῖσι ἐπεξῆς τούτοισι τεταγμένοισι κατά τε χαράδρην καὶ οὔρεα. ἐν ᾧ δὲ οἱ Λακεδαιμόνιοι περιήισαν, οὗτοι οἱ ἐπὶ τῷ ἑτέρῳ κέρεϊ ἔτι καὶ δὴ ἐμάχοντο. ἕως μέν νυν τοῖσι Πέρσῃσι ὄρθια ἦν τὰ γέρρα, ἠμύνοντό τε καὶ οὐδὲν ἔλασσον εἶχον τῇ μάχῃ· ἐπεὶ δὲ τῶν Ἀθηναίων καὶ τῶν προσεχέων ὁ στρατός, ὅκως ἑωυτῶν γένηται τὸ ἔργον καὶ μὴ Λακεδαιμονίων, παρακελευσάμενοι ἔργου εἴχοντο προθυμότερον, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ πρῆγμα. διωσάμενοι γὰρ τὰ γέρρα οὗτοι φερόμενοι ἐσέπεσον ἁλέες ἐς τοὺς Πέρσας, οἱ δὲ δεξάμενοι καὶ χρόνον συχνὸν ἀμυνόμενοι τέλος ἔφευγον ἐς τὸ τεῖχος. Ἀθηναῖοι δὲ καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Τροιζήνιοι (οὗτοι γὰρ ἦσαν οἱ ἐπεξῆς τεταγμένοι) συνεπισπόμενοι συνεσέπιπτον ἐς τὸ τεῖχος. ὡς δὲ καὶ τὸ τεῖχος ἀραίρητο, οὔτ' ἔτι πρὸς ἀλκὴν ἐτράποντο οἱ βάρβαροι, πρὸς φυγήν τε ὥρμέατο οἱ ἄλλοι πλὴν Περσέων· οὗτοι δὲ κατ' ὀλίγους γινόμενοι ἐμάχοντο τοῖσι αἰεὶ ἐς τὸ τεῖχος ἐσπίπτουσι Ἑλλήνων. καὶ τῶν στρατηγῶν τῶν Περσικῶν δύο μὲν ἀποφεύγουσι, δύο δὲ τελευτέουσι· Ἀρταΰντης μὲν καὶ Ἰθαμίτρης τοῦ ναυ-

102. Zu dem nach *μὲν δή* anstöfsigen *μέν νυν* vgl. VIII 108 5. — *προσεχέσι*, attributiv zu *τεταγμένοισι*. Unten 16 *ἐπεξῆς τεταγμένοι*. Das östlich vom pers. Lager gelandete Heer marschirte nicht in Kolonnen dem Ufer entlang, sondern, um den Feind zugleich von der Seite zu fassen (*περιήισαν*), in breiter Schlachtlinie, für welche der Küstensaum zu schmal war, so dafs der rechte Flügel (Lakedaemonier) am Gebirge einherziehen mufste. Die Perser erwarteten den Angriff auf der Küste.

5. *χαράδρην*, vermuthlich des Gaeson, an welchen sich das feindliche Lager als einen natürlichen Schutzgraben anlehnte (c. 97 3).

6. *ἔτι καὶ δή* 'schon bereits'. Zu V 62 17. IV 102 3. Falls nicht *ἔτι* vor *περιήισαν* stand.

8. *ἔλασσον εἶχον*: zu IV 4 9.

11. *ἔργου εἴχοντο*: zu III 72 27.

18 f. *οὔτ'-τε*: zu I 63 8.

20. Durch *κατά* erhält *ὀλίγους* distributiven Begriff, 'überall in kleine Haufen vertheilt'.

τικοῦ στρατηγέοντες ἀποφεύγουσι, Μαρδόντης δὲ καὶ ὁ τοῦ πεζοῦ στρατηγὸς Τιγράνης μαχόμενοι τελευτέουσι.
103 Ἔτι δὲ μαχομένων τῶν Περσέων ἀπίκοντο Λακεδαιμόνιοι καὶ οἱ μετ' αὐτῶν, καὶ τὰ λοιπὰ συνδιεχείριζον. ἔπεσον δὲ καὶ αὐτῶν τῶν Ἑλλήνων συχνοὶ ἐνθαῦτα, ἄλλοι τε καὶ Σικυωνίων στρατηγὸς Περίλεως. τῶν δὲ Σαμίων οἱ στρατευόμενοι ἐόντες τε ἐν τῷ στρατοπέδῳ τῷ Μηδικῷ καὶ ἀπαραιρημένοι τὰ ὅπλα, ὡς εἶδον αὐτίκα κατ' ἀρχὰς γινομένην ἑτεραλκέα τὴν μάχην, ἔρδον ὅσον ἐδυνέατο προσωφελέειν ἐθέλοντες τοῖσι Ἕλλησι. Σαμίους δὲ ἰδόντες οἱ ἄλλοι Ἴωνες ἄρξαντας οὕτω δὴ καὶ αὐτοὶ ἀποστάντες ἀπὸ Περσέων ἐπέθεντο
104 τοῖσι βαρβάροισι. Μιλησίοισι δὲ προσετέτακτο μὲν τῶν Περσέων τὰς διόδους τηρέειν, σωτηρίης εἵνεκεν σφι, ὡς ἢν ἄρα σφέας καταλαμβάνῃ οἷά περ κατέλαβε, ἔχοντες ἡγεμόνας σώζωνται ἐς τὰς κορυφὰς τῆς Μυκάλης. ἐτάχθησαν μέν νυν ἐπὶ τοῦτο τὸ πρῆγμα οἱ Μιλήσιοι τούτου τε εἵνεκεν, καὶ ἵνα μὴ παρέοντες ἐν τῷ στρατοπέδῳ τι νεοχμὸν ποιέοιεν· οἱ δὲ πᾶν τὸ ἐναντίον τοῦ προστεταγμένου ἐποίεον, ἄλλας τε κατηγεόμενοί σφι ὁδοὺς φεύγουσι, αἳ δὴ ἔφερον ἐς τοὺς πολεμίους, καὶ τέλος αὐτοί σφι ἐγίνοντο κτείνοντες πολεμιώτατοι. οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἀπὸ Περσέων ἀπέστη.
105 Ἐν δὲ ταύτῃ τῇ μάχῃ Ἑλλήνων ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων Ἑρμόλυκος ὁ Εὐθύνου, ἀνὴρ

103. 7. Bei Homer bez. *νίκη ἑτεραλκής* einen Sieg der sich entschieden der einen von zwei Parteien zuneigt. Ebenso Aesch. Pers. 926 *Ἄρης ἑτεραλκής*. Hier aber ist *ἑτεραλκής* und VIII 11 10 *ἑτεραλκέως* 'bald diesem bald jenem günstig' d. i. 'unentschieden', *anceps*. Der Gebrauch der ähnlichen Komposita von *ἕτερος* zeigt dafs die erste Bedeutung die spraehgemäfsere ist.

8 *προσωφελέειν-τοῖσι Ἕλλησι*, wie öfter die Dichter. Oben c. 68 6 der normale Akkusativ.

104. Das Verderbnifs der Stelle hebt und erklärt sich am einfachsten durch eine Umstellung: *Μιλησίοισι δὲ προσετέτακτο μέν σφι τὰς διόδους τηρέειν σωτηρίης εἵνεκεν τῶν Περσέων*. Ueber das abundante *σφι* zu VII 147 8. 197 3.

5. *ἐτάχθησαν*: zu c. 56 7.

10. *ἐγίνοντο*, parallel zu *κατηγεόμενοι*; zu I 85 5.

105. 2. *Ἑρμόλυκος*: seine Bildsäule auf der Akropolis sah noch Pausanias (I 23 10).

παγκράτιον ἐπασκήσας. τοῦτον δὲ τὸν Ἑρμόλυκον κατέλαβε ὕστερον τούτων, πολέμου ἐόντος Ἀθηναίοισί τε καὶ Καρυστίοισι, ἐν Κύρνῳ τῆς Καρυστίης χώρης ἀποθανόντα ἐν μάχῃ κεῖσθαι ἐπὶ Γεραιστῷ. μετὰ δὲ Ἀθηναίους Κορίνθιοι καὶ Τροιζήνιοι καὶ Σικυώνιοι ἠρίστευσαν.

Ἐπείτε δὲ κατεργάσαντο οἱ Ἕλληνες τοὺς πολλοὺς **106** τοὺς μὲν μαχομένους τοὺς δὲ καὶ φεύγοντας τῶν βαρβάρων, τὰς νέας ἐνέπρησαν καὶ τὸ τεῖχος ἅπαν, τὴν λείην προεξαγαγόντες ἐς τὸν αἰγιαλόν, καὶ θησαυρούς τινας χρημάτων εὗρον. ἐμπρήσαντες δὲ τὸ τεῖχος καὶ τὰς νέας ἀπέπλεον. ἀπικόμενοι δὲ ἐς Σάμον οἱ Ἕλληνες ἐβουλεύοντο περὶ ἀναστάσιος τῆς Ἰωνίης, καὶ ὅκῃ χρεὼν εἴη τῆς Ἑλλάδος κατοικίσαι τῆς αὐτοὶ ἐγκρατέες ἦσαν, τὴν δὲ Ἰωνίην ἀπεῖναι τοῖσι βαρβάροισι· ἀδύνατον γὰρ ἐφαίνετό σφι εἶναι ἑωυτούς τε Ἰώνων προκατῆσθαι φρουρέοντας τὸν πάντα χρόνον, καὶ ἑωυτῶν μὴ προκατημένων Ἴωνας οὐδεμίαν ἐλπίδα εἶχον χαίροντας πρὸς τῶν Περσέων ἀπαλλάξειν. πρὸς ταῦτα Πελοπον-

4. Thuk. I 98 *ἔπειτα* (nach der Eroberung von Eion, 476) *Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν καὶ ᾤκησαν αὐτοί. πρὸς δὲ Καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν.* Vgl. VIII 112 8. 121 2.

6. Eig. *ἀποθανεῖν καὶ κεῖσθαι.* — *Γεραιστῷ*: zu VIII 7 5.

Die Hellenen wieder in Samos; Berathung über Ionien (c. 106). Zwist der pers. Führer (c. 107).

106. *κατεργάσαντο*: zu I 24 12.

3. *ἅπαν* bezieht sich auch auf *νέας*.

4. *θησαυρούς*: s. VII 190 7.

7. *ἀνάστασις* 'Räumung'.

8. *Ἑλλάς* hier im weitesten Sinne alles von Hellenen bewohnte Land; darum durch *τῆς-ἦσαν* beschränkt auf dasjenige, worüber die Verbündeten unmittelbar oder mittelbar verfügen konnten.

